τεύχεος· τοῦ κύτους. διέστειλε τὴν καρδίαν τὴν περιέχουσαν τὸ ἔμφυτον πῦρ, ἐπιδόρπιον εἰπών· οἱ δὲ δοχεῖον τῶν ἐντέρων· τὸ γὰρ στομάχοιο πρὸς τὸ ἐπιδόρπιον ἀποδοτέον.

22. *πύλη δ' ἐπικέκλιται*· ἐμπέφρακται τῶν παχέων ἐντέρων ἡ εἴσοδος, τοῦτο γάρ φησιν ὅτι φράττεται τὰ δοχεῖα μέρη τῶν σιτίων διὰ τῶν ἀλγηδόνων.

24. *νοτέων ὑπολείβεται ἱδρώς*· παρακολουθεῖ δὲ ἀεὶ τοῖς τὸ ἀκόνιτον πεπωκόσιν ἐκ τῶν βλεφάρων καὶ τῶν μελῶν ὑγρὰ ὑπόσταξις· ἡ δὲ γαστὴρ πνευματουμένη καὶ ταρασσομένη τὰ μὲν πολλὰ τῶν πνευμάτων ἄνωθεν ἐκβάλλει, τὰ δὲ λοιπὰ κάτω πέμπει, ἅτινα κατὰ τὸν ὀμφαλὸν ἱδρυνθέντα ἐμφράσσει τὴν κοιλίαν.

27. *κράατι δ' ἐν βάρος*· πνευμάτωσις πολλὴ καὶ βάρος κεφαλῆς καὶ κροτάφων παλμός.

28. *διπλόα* ⟨*δέρκεται* G¹⟩· ἀντὶ τοῦ διπλῶς ὁρᾷ, οἷα συμβαίνει τοῖς ἐσκοτωμένοις τῇ μέθῃ. οὕτω, φησί, βαρεῖται ὑπὸ τοῦ φαρμάκου ὁ πιὼν αὐτό, ὡς ἀνὴρ κραιπαλῶν.

30. *ἀγριόεσσαν ὀπώρην*· νῦν τὴν σταφυλὴν λέγει, ἀντὶ

1-2 usque ad ὑποδάκνεται om. G¹ | 2 ἀκρονειαίρης P | 2 τῆς om. G¹ utroque loco κατωτάτης G¹ | 8-11 L | 12-14 om. G¹ | 15-17 L | 18 ἐπικέκλειται· ἐμπέφρασται P | 20 διὰ τὴν ἀλγηδόνα R P | 21-26 om. G¹ | 21 ἱδρῶς om. G² | 27-31 om. G¹ | 29 δίπλοα P διπλῶς] διπλόα G², διπλᾶ P | 30 ἐσκοτισμένοις R P | 32 usque ad ὀρεινή (p. 330, 2) om. G¹.

τοῦ ἀγριοποιόν, ἐπεὶ ὁ οἶνος ἀγριοποιός ἐστι, καθάπερ λέγεται· ἡ ἀγρία καὶ ὀρεινή. ὑποθλίψαντες δὲ ἤγουν ἐκπιέσαντες τὴν ἀγριοποιὸν ὀπώρην οἱ Σειληνοί. Σειληνοὶ δὲ οὓς Σατύρους λέγομεν· ἐκάλουν δὲ οἱ ἀρχαῖοι Σειληνοὺς ἀπὸ τοῦ σιλλαίνειν, ὅ ἐστι λοιδορεῖν. γράφεται διὰ τοῦ ἰῶτα.

31. *κεραοῖο· ὅτι οἱ ἀρχαῖοι κέρασιν ἐχρῶντο ἐν τῇ πόσει ἀντὶ ποτηρίων, ὅθεν καὶ τὸ κεράσαι εἴρηται, ἢ διὰ τὸ ταυρωτικὸν τῶν πινόντων, τουτέστι τὴν ἀπὸ τοῦ οἴνου ἰσχύν, ὡς κέρατα ἐχόντων· ὁ δὲ Διόνυσος καὶ ταυρόκερως λέγεται.*

32. *θωρηχθέντες· ἀντὶ τοῦ μεθυσθέντες. καὶ Ἱπποκράτης τὴν οἰνοποσίαν θώρηξιν εἴρηκε* ⟨V 130, Littré⟩.

34. *Νυσαίην ἀνὰ κλιτύν· ἤγουν ἀνὰ κλιτὺν τοῦ Νυσαίου ὄρους.*

35. *ὥς οἵ γε σκοτόωσιν· οὕτως, φησί, καὶ οἱ βεβρωκότες τὸ ἀκόνιτον διατίθενται ἔκφρονες.*

36. ⟨*τὴν μέν τε* G[1]⟩· *ταύτην μέντοι τὴν βοτάνην, τὸ ἀκόνιτον, καὶ μυοκτόνον καλοῦσι διὰ τὸ τοὺς περιλείχοντας αὐτὴν μύας φονεύειν.*

37. *ὕρακας· τοὺς μύας κατ᾽ Αἰολεῖς· ὕρακας δὲ νῦν τοὺς μύας ἐκάλεσε, διότι παρεοίκασι χοίροις τῷ ῥάμφει· λέγεται γὰρ ὗς ὁ χοῖρος καὶ ὕραξ. λιχμήρεας δὲ τοὺς περιλείχοντας, καὶ ἀνιγροὺς τοὺς ἀνιαρούς.*

38. *πορδαλιαγχὲς* ⟨*λέγεται* R P⟩ *τὸ ἀκόνιτον ἐπειδὴ τούτου αἱ πορδάλεις γευσάμεναι ἀποπνίγονται, ὥσπερ οἱ ἀγχόμενοι, ἃς ἡ τοῦ ἀνθρώπου κόπρος θεραπεύει.*

1 *τοῦ τὴν* G[2] *ἐπειδὴ* R P | 2 *ἐκθλίψαντες* R P pro *τὴν ἀγρ. ὀπώρην* R P: *τὴν σταφυλὴν* | 3 *οἱ σιληνοὶ* G[1] (ex corr.) R, *σηληνοὶ* ex *σιληνοὶ* P, corr. *Abel* pro *σειλενοὶ δὲ* R P: *οὗτοι δὲ* *οὓς*] *οὓς ἡμεῖς* R P, punctum deest in R P post *λέγομεν* et postea: *οἱ ἀρχ. σιληνοὺς* (*σιλλανοὺς* P) *ἐκάλουν* | 4 *σιλαίνειν* R, *σύλλαίνειν* P | 8 *τοῦ* omm. R P | 8-9 *ὡς κ. ἐχόντων* R P | 9 pro *ὁ δὲ* — *λέγεται* R P: *ταυρόκερως γὰρ ὁ Δ.* | 10 Hoc sch. ante sch. ad v. 31 est in G[1] *μεθύοντες* R P | 12-13 pro *ἤγουν* — *ὄρους* P: *τὴν τοῦ νεσαίου* (sic) *ὄρους* | 15-17 pro *διατίθενται* — *καλοῦσι* R *μυόκτονον* | 17 *μυόκτονον* R P | 17-18 *διὰ τὸ* — *φονεύειν* om. G[1]; post *φονεύειν* R *οὕτω καλοῦσιν* | 19-21 *ὕρακας* — *καὶ ὕραξ* dedi ex R P *κατ᾽ αἰτωλοὺς* R P, *κατ᾽ αἰολεῖς* G[1] in sch. epitom., *αἰολικῶς* L | 19-20 *νῦν τοὺς μύας*] *αὐτοὺς νῦν* P | 20-21 verba *λέγεται ὕραξ*, quae in R P post *αἰωλεῖς* leguntur, transtuli | 21 *λειχμήρεας* P *ἀνιγροὺς δὲ*, omisso *καὶ*, G[1] | 23-25 om. G[1]. Ante hoc sch. legitur in G[2] *ἄλλως* | 24 *παρδαλεῖς* G[2] R.

οἵ δέ τε· οἱ δὲ ἕτεροι, φησί, πορδαλιαγχὲς τὸ ἀκόνιτον ὀνομάζουσιν, ἐπεὶ οἱ βουπελάται καὶ οἱ νομεῖς πότμον ἔθεντο τοῖς θηρίοις τοῖς πελώροις, τουτέστι ταῖς πορδάλεσι ταῖς μεγάλαις, κατὰ τὴν Ἴδην ὄρος· βουπελάται δὲ οἱ βουκόλοι παρὰ τὸ πλησιάζειν ταῖς βουσὶ καὶ κολλᾶσθαι αὐταῖς. 5

πορδαλιαγχές· οἱ δὲ νομεῖς καὶ οἱ βουπελάται πορδαλιαγχὲς αὐτὸ ἔθηκαν. ἰστέον ⟨δὲ G[1]⟩ ὅτι ἡ πόρδαλις ἐὰν φάγῃ τὸ ἀκόνιτον ἀναιρεῖται· οὐ πρότερον οὖν ἐσθίει ἐξ αὐτοῦ, εἰ μὴ ἔχει πλησίον κόπρον ἀνθρωπείαν· ταύτῃ γὰρ κέχρηται ἀντιφαρμάκῳ. οἱ οὖν νομεῖς ἐξάπτουσι τὴν κόπρον εἰς δένδρον 10 τοσοῦτον ὕψος, ὅσον οὐ δύναται ἡ πόρδαλις πηδῶσα φθάσαι· ὁρῶσα γοῦν τὴν κόπρον ⟨ἡ πόρδαλις G[1]⟩, ἅτε δὴ θαρροῦσα ἔχειν τὸ ἀντιφάρμακον, τρώγει τὸ ἀκόνιτον, εἶτα ὁρμᾷ ἐπὶ τὸ χρήσασθαι τῷ ἀντιφαρμάκῳ καὶ οὐκ ἐφίκετο διὰ τὸ ὕψος. οὕτως οὖν ἐφαλλομένη καὶ πηδῶσα, λαβεῖν τὸ ἀντιφάρμακον μὴ 15 δυναμένη, ἤγουν μὴ καταλαμβάνουσα εἰς τὸ ὕψος, ἀποθνήσκει ἢ ἀτονεῖ· ἄτονον γὰρ τὸ ζῷον φύσει· καὶ οὕτως αὐτὴν σφάττουσιν οἱ νομεῖς.

40. Ἴδης ἐν κνημοῖσιν· ἐν τοῖς τόποις τῆς Ἴδης. κορυφαὶ δέ, ἤγουν ἐξοχαί, τῆς Ἴδης δ΄· Φαλάκρα, Λεκτόν, Σίγειον, 20 Γάργαρον. Φαλακραίης· Φαλάκρα ἀκρωτήριον Ἴδης, διὸ καὶ ὁ Λυκόφρων ⟨Al. 24⟩·

αἱ Φαλακραῖαι κόραι.

41. θηλυφόνον· ὅτι ἐὰν ἅψηται μορίου θήλεος, διαφθείρει τὸ ζῷον. παντὸς ζῴου φησὶ θήλεος εἰς τὴν φύσιν ἐντι- 25

1-5 οἵ δέ τε — ἔθηκαν] οἱ δὲ νομεῖς καὶ (om. P) οἱ βουπελάται πορδαλιαγχὲς αὐτὸ ἔθηκαν, ἐπεὶ τοῖς θηρίοις τοῖς πελώροις τουτέστι ταῖς πορδάλεσι (παρδ. R) ταῖς μεγάλαις πορδαλιαγχὲς (om. P) πότμον αὐτὸ ἔθηκαν. βουπελάται δὲ οἱ βουκόλοι παρὰ τὸ πλησιάζειν ταῖς βουσὶ καὶ κολλᾶσθαι αὐταῖς (αὐτοῖς R) RP | 9 γὰρ] οὖν RP ἀντὶ φαρμάκῳ P | 10 δένδρον] ῥόδον R, sed corr. mg. δένδρον | 12 γοῦν] οὖν RP δὴ omm. RP | 13 ἐπὶ τῷ RP | 14 ἐφίκεται G[1], postea RP: αὐτοῦ, ἤγουν οὐχ ἅπτεται αὐτοῦ | 15 sqq. λαβεῖν τοῦ ἀντιφαρμάκου καὶ μὴ δυναμένη διὰ τὸ ὕψος ἀποθνήσκει RP | 17-18 σφάζουσιν RP | 19 post τῆς ἴδης add. G² sch. φαλακραίης — κόραι (21-23), quod om. G[1] | 20 λεκτὸν] λεὸν P σίγειον supra σίγη scripsit G² φαλάκρα δὲ, omisso lemmate, RP | 22 ὁ λυκ. φησίν RP | 24 θηλύφονον P ὅτι om. R | 24 παντός φησὶ ζώου RP post θήλεος G[1] haec habet: τὸ ἀκ. ἐντιθ. εἰς τὴν φύσιν αὐτοῦ (in erasis a m²) φθορᾶς (ex φθείρει fecit G²).

θέμενον τὸ ἀκόνιτον, φθορᾶς αἴτιον γίνεται τοῦ τοιούτου ζῴου,
κἂν οἷον ἂν ᾖ. κάμμορον δὲ κακῷ μόρῳ ἀναιροῦν. ἐν δ' Ἀκο-
ναίοις· ἐν τοῖς τόποις, οἷς γίνονται αἱ ἀκόναι· τὰς δὲ ἀκόνας
οἱ μὲν ἐν Ἡρακλείᾳ φασί, οἱ δὲ ἐν Ἑρμιόνῃ, οἱ δὲ ἐν Τανά-
5 γρᾳ γίνεσθαι.

42. θηλείην δὲ ἀντὶ τοῦ τὸ θηλῆεν. ὀρόγκοις· τοῖς με-
τεώροις τόποις, ἀπὸ τοῦ τοὺς ὀρεινοὺς τόπους ὄγκους ἔχειν· ἢ
τοῖς τόποις τοῖς ἐξοχὰς ἔχουσι.

43. τῷ καί που τιτάνοιο· πάρεστιν ἐπὶ τὰ βοηθήματα
10 τοῦ ποτίσματος τοῦ ἀκονίτου, καί φησι δράκα κονίας ἀσβέ-
στου μισγομένην οἴνῳ βοηθήσειν τῷ πεπωκότι. τίτανος γὰρ ἡ
ἄσβεστος.

44. ὅτε νέκταρ κιρρόν· ὅτε οἶνον πυρρὸν ἐν τρυβλίῳ
μετρηδόν, ἀντὶ τοῦ μετρήσας, ἀφύσσῃς.

15 46. θάμνου ἀντὶ τοῦ θαμνώδους, ἢ τοῦ θαμνώδη φύλλα
ἔχοντος. καύλεα δὲ κλῶνας.

47. χλοεροῦ πρασίοιο· τρία γένη τοῦ πρασίου εἰσί, δηλοῖ
δὲ τὸ ποῖον βούλεται ⟨λέγειν G[2] R⟩· φησὶν οὖν τὸ μελίφυλλον.
ἔστι δὲ τοῦτο πικρόν· οὗ τὰ φύλλα σὺν οἴνῳ ἕψησον πληρώσας
20 τὴν χεῖρα· ἢ ἀβροτόνου· καὶ ποτήριον πληρώσας δὸς πιεῖν.

48. ἀειθαλέος· ὅτι ἀεὶ χλωρά ἐστιν ἡ χαμελαία καλου-
μένη βοτάνη. τοῦ δὲ πηγανίου εἴδη εἰσὶ δύο, ἄδηλον δὲ ποῖον
λέγει· ὅμως δὲ καὶ αὐτὸ ληφθὲν εἰς ἥμισυ βάθος χειρὸς πλή-
ρωμα καὶ μετὰ οἴνου ἑψηθὲν ἢ μέλιτος καὶ τεσσάρων ποτηρίων
25 ἤτοι κοτυλῶν ποθὲν ὠφελεῖ.

49. ἐνὶ βάμμασι σίμβλων· πᾶν δὲ ὑγρὸν βάμμα κα-

1 φθορᾶς α. γίνεται om. G[1] τοῦ — ᾖ G[2] | 3 τὰς] ταύτας R P | 5 γίνεσθαι post φασὶ R P | 6 θηλείην — θηλῆεν G[1] θηλῆεν scripsit *Abel*, θηλεῖεν ex θηλῆεν fecit G[2] | 9 ante hoc sch. inserunt R P: ἐντεῦθεν δὲ λέγονται τὰ βοηθήματα καὶ ἀντίδοτα τοῦ ἀκονίτου | 10 τοῦ ποτίσματος in eras. in G[1] κονίαν R | 11 βοηθεῖν R P | 11-12 pro τίτανος γὰρ ἡ ἄσβεστος, quao sunt in R P, haec habet G[1]: τιτάνοιο· ἀσβέστου, ὅσον χωρεῖ χεὶρ γέμουσα. cf. v. 47 | 13 πυρὸν R P | 14 μετρητὸν R P ἀφήσεις P | 15-16 ἢ τοῦ — ἔχοντος om. G[1] καύλεα δὲ κλ. habet G[1] | 16 sch. ad v. 46 sequitur in G[1] sch. ad v. 47 | 17 τρία εἰσὶ γένη κτέ. R P | 19-20 οὗ τὰ φ. — πιεῖν om. G[1] | 20 πιεῖν] ποιεῖν P | 21 δὲ ὅτι R P χλωρή R χαμαιλέα P | 22-23 G: τοῦ δὲ (corr. ex τὸ δὲ a G[2]) πηγανίου εἴδους (πηγάνιον tantum antea fuit) ποίου (ex ποῖον) λέγει ἄδηλον. δύο γάρ εἰσιν | 23-25 ὅμως κτέ. om. G[1] | 26 lemma addidi.

λεῖται. σημείωσαι ὅτι μόνον βάμμα τὸ ὄξος, εἰ δὲ μετά τινος, δηλοῖ ᾧ μέμικται.

50. *αἰθαλόεντα μύδρον· πεπυρακτωμένον μύδρον, ἤγουν σίδηρον κεκαυμένον, ἐναποσβεννύων, φησί, εἰς ὕδωρ πῖνε.*

51. *τὴν σκωρίαν τοῦ σιδήρου τρύγα φησί, ἣν ἐν τῇ καμίνῳ ἡ τοῦ πυρὸς φλὸξ ἐχώρισεν ἀπὸ τοῦ σιδήρου· τὸ μὲν γὰρ τοῦ χωνευομένου καθαρόν ἐστι, τὸ δὲ ἀκάθαρτον, διὸ καὶ διχῇ εἶπεν. καὶ ταύτην δὲ σβέσας ἐν μέλιτι, πότισον τὸ ἀπόβαμμα αὐτῆς τὸν κάμνοντα, καὶ χρυσοῦ δὲ ἢ ἀργύρου τὸ βάμμα τοῦ ἐληλασμένου καὶ ζέοντος. λιγνὺς δέ ἐστι κυρίως τὸ καπνῶδες τοῦ πυρός, νῦν δὲ αὐτὴ ἡ φλόξ.*

55. *θρίων· ἰδίως* ⟨*μὲν* R P⟩ *θρία τὰ φύλλα τῆς συκῆς, ὥσπερ οἴναρα τὰ τῆς ἀμπέλου· νῦν δὲ* ⟨*τὰ* G[1]⟩ *τῆς χαμαιπίτυος ἔφη, ἣ καὶ ὀνόγυρος καὶ σιδηρῖτις λέγεται καὶ ἰωνιὰ ἀγρία.*

πολλὰ τῶν ὀνομάτων ἔν τισιν ἰδίως ἀποκληρωθέντα οὐκ εἴασαν οἱ τοῦ λόγου προστάται μένειν ἐπὶ κυριότητος, ἀλλὰ κατεχρήσαντο καὶ ἐπ᾿ ἄλλων· ὥσπερ καὶ τὰ θρία κυρίως μὲν τὰ φύλλα τῆς συκῆς λέγεται, ὥσπερ οἴναρα τῆς ἀμπέλου, ἀλλ᾿ ἐνταῦθα τῆς χαμαιπίτυος τὰ φύλλα θρία ὠνόμασεν.

ὀνίτιδα λέγει τὸ ὀρίγανον· δύο δὲ γένη ὀριγάνου, ⟨*ᾧ* G[1]⟩ *ἡμεῖς χρώμεθα, ὃ καὶ ἥμερον λέγεται, καὶ ὃ οἱ ὄνοι σιτοῦνται, ὃ καὶ παρείληφεν, ὃ καὶ ὀνῖτις λέγεται· ἧς λαμβάνειν κελεύει τὰ φύλλα εἰς ἥμισυ πληροῦντα τὸ βάθος τῆς χειρός, ἢ τοῦ*

Hoc sch. (ad v. 49) legitur in R P ante *τὴν σκωρίαν* (l. 5) | 3-4 *μύδρον ἤγουν σ.*] *σίδηρον ἤτοι* R P *ἐναποσβεννὺς* R P | 4 post *πῖνε* R P *τρύγα* (*τρίγα* P) *δὲ τὴν σκωρίαν* (*σκωριὰν* P) *λέγει*, quae punctis inducta sunt in R; postea sch. ad v. 49 | 5-9 usque ad *τὸν κάμνοντα* om. G[1] | 5-6 *ἣ ἡ τοῦ π. φλὸξ ἐν τῇ κ. κτέ.* G[2] | 9-10 *καὶ χρυσοῦ — ζέοντος* R P, qui insuper add.: *τήν τε καμίνων* (lemma om. R), *ἥντινα ἔντοσθεν τῶν καμίνων τοῦ χωνευτηρίου διχῇ ἤλασεν ἡ τοῦ πυρὸς λιγνύς, καὶ χρυσοῦ δέ φησιν ἀπόβαμμα ἢ ἀργύρου πινόμενον ὠφελεῖ.* pro his G[1]: *ἄλλοτε δὲ χρυσοῖο· καὶ* (in eras. a G[2]) *ἀπόβαμμα δὲ* (in eras. a G[2]) *χρυσοῦ ἢ ἀργύρου πινόμενον φησὶ* (add. G[2]) *ὠφελεῖ* | 11 *αὐτὴ*] *ἀντὶ τοῦ* G[1] | 12 *θρύων* et *θρύα* P, *θρύα μὲν* (*δὲ* P) *ἰδίως δὲ* (*μὲν* P) R P | 13 *οἰναρὰ τὰ τῆς* G[1], *οἰνήρατα τῆς* R P, corr. *IGSchn.* | 14 *ἢ καὶ κτέ.* om. G[1] *ἰωνιὰ*] *ἡ ὀνία* R, *ἰονία* P | 15-19 edidi ex L | 16 *ἐπὶ κυριωνυμίας* malit *Vitelli* | 17 *θρύα* L | 18 *οἰναρὰ* L | 20 *ὀρείγανον* R constanter *ἔστι δὲ δύο γένη ὀρειγάνων* G[1] | 21 *ὃ καὶ ἥμερον λέγεται* om. G[1] *ὃ καὶ οἱ ὄνοι ἐσθίουσιν* R P | 22 inde a *ὃ καὶ ὀνῖτις* — 25 om. G[1] | 23 *συμπληροῦντα* P.

πολυκνήμου ἢ τῆς χαμαιπίτυος, καὶ μετὰ τεσσάρων κοτυλῶν οἴνου ποτίζειν.

57. ῥάδιξ ἡ ῥάβδος· πολύκνημον δέ ἐστιν οὕτως τι βοτάνιον παρὰ τοῖς ῥιζοτομικοῖς καλούμενον. δύο δὲ αὐτοῦ δια-
5 φορὰς εἶναί φασιν οἱ τὰ ῥιζοτομικὰ γράψαντες.

59. μυελόεντα· τὴν ἐκ τῆς ἑψήσεως σύντηξιν τῶν ὀρνιθείων σαρκῶν, ἢ τὸν ὡς μυελὸν γενόμενον ἐκ τῆς ἑψήσεως. κελεύει δὲ τὴν κατοικίδα ὄρνιν ἕψεσθαι, ἕως ἂν τακῇ αὐτῆς τὰ κρέα καὶ γένηται ὡς χυλός, καὶ τότε προσφέρεσθαι τὸν ζω-
10 μόν, μυελόεντα, ἵνα λυθῇ καὶ γένηται ὡς μυελός.

60. στρουθοῖο· ἤτοι τοῦ νεοττοῦ τῆς ὄρνιθος.

62. βοὸς νέα γέντα· καὶ μοσχαρίου κρέατα ἑψήσας περισφριγῶντος καὶ περιπλήθοντος τῷ λίπει πλήρωσον τὸ ποτὸν τοῦ ζωμοῦ· καθ' ὑπερβολὴν γὰρ ὁ τοιοῦτος ζωμὸς ὠφελεῖ.
15 64. βαλσάμοιο· ⟨βαλσάμου R P⟩, φησί, τὸν ὀπὸν δεῖ πίνειν μετὰ γάλακτος γυναικείου ἢ μεθ' ὕδατος.

65. θηλυτέρης γὰρ πώλοιο· νέας γυναικός φησι, καὶ οὐ πώλου ἵππου. ὅτι δὲ χρήσιμον τὸ γυναικεῖον γάλα καὶ Ἐρασίστρατος μαρτυρεῖ ἐν τῷ Περὶ θανασίμων.
20 66. χεύῃ παναεργέα δόρπον· προσεμέσῃ πιὼν τούτων ἑκάτερον, προσφερόμενον οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τὸ ἐμέσαι. παναεργέα δὲ ἀργόν, ἀνέψητον, ⟨ἀδιέργαστον R P⟩, ἀδιάπεπτον.

67. δερκευνέος δὲ τοῦ ὁρῶντος ἐν τῷ κοιμᾶσθαι· τοῦ
25 δερκευνέος φησὶ σκίνακος, ὅ ἐστι τοῦ σκιρτητικοῦ λαγωοῦ, τοῦ ἐν τῷ κοιμᾶσθαι βλέποντος, καθάπερ καὶ ὁ λέων καὶ ὁ ὄφις.

69. ἄλλοτε καὶ μορέης· καὶ συκαμίνου προστάσσει λαμ-

2 ποτίζει R | 3-4 τὶς βοτάνη R P καλούμενον] καλ. καὶ λεγόμενον G¹ | 5 post γράψαντες quaedam add. G¹ ex *Eutecnio* 235a 2-5, praemisso ἄλλως | 6 σύνταξιν R | 7 post ἑψήσεως verba ἢ ἐκ τῆς σήψεως (ψήσεως P), quae exhibent R P, cum *IGSchn.* omisi, ut inepta | 9 καὶ γ. ὡς χυλός om. G¹ | 10 μυελόεντα κτέ. habet G¹ | 11 exstat in G² | 12 lemma in R P καί τε βοός κρέατος R, κέρατος P | 12-13 περισφριγῶντος καὶ om. G¹ | 13 τὸν ποτὸν G¹ in ras. ex corr. G², τὸ ποτήριον R | 14 καθ' ὑπερβολὴν κτέ. R P | 15 ναὶ μὲν βαλσάμοιο est lemma in G¹ | 17 φησί νέας γυναικός G¹ | 21 post προσφερ. G¹ (ex corr. G²) R addunt χρήσιμον, quod omisi, itemque ineptam glossam ad προσφερόμενον. scholl. vulg. χρησίμως | 24-26 R P; habet G¹ sch. epitom. | 25 σκιστικοῦ G¹, σκιστατικοῦ R.

βάνειν τὰς ῥίζας, καὶ ἐν ὅλμῳ ξυλίνῳ κόπτειν ὁμοῦ καὶ ἕψειν μετὰ οἴνου καὶ διδόναι πιεῖν μετὰ μέλιτος. λέγει δὲ οὐχ ἁπλῶς τὰς ῥίζας τῆς συκαμίνου, ἀλλὰ τὸν φλοιὸν τῆς ῥίζης.

74. δεύτερα δ' αἰγλήεντος ψιμυθίου· τοῦ ψιμυθίου φαρμάκου ἡ χροιὰ λιπαρῷ γάλακτι ἔοικεν ἀμελχθέντι νεωστὶ 5 ἐν κισσυβίῳ καὶ ἔτι ἀφρίζοντι.

77. πελλίσι δὲ σκαφίσι, ποιμενικοῖς ἀγγείοις, ἐν οἷς τὸ γάλα ἀμέλγεται. Ὅμηρος ⟨Η 642⟩·

περιγλαγέας κατὰ πέλλας.

γρώνῃσι δὲ κοίλαις καὶ βαθείαις καὶ δεκτικαῖς. 10

78. τοῦ μὲν ὑπὲρ γέννάς τε· τούτου φησὶ τοῦ λαμβάνοντος τὸ δηλητήριον τοῦ ψιμυθίου τὰ ἔνδον τῶν σιαγόνων καὶ ὅπου τὰ οὖλα ῥυσσαίνεται ὁ ἀφρὸς τοῦ ψιμυθίου ἐπιστύφων ἐμπελάζει. ⟨ἄλλως R P⟩· οὐ τὰς ἐκτὸς λέγει οὔλων, ἀλλὰ ἐντὸς ὅπου οἱ ὀδόντες εἰσί, διὸ καὶ ῥαδίως ῥυτιδοῦνται ὑπὸ τοῦ ψι- 15 μυθίου ψυχόμεναι, ὡς ξηρανθεῖσαι. ὁ γὰρ ἀφρὸς αὐτοῦ ὡς λεπτομερὴς περικαθίζει τοῖς οὔλοις.

79. ἀμφὶ δὲ ὁλκός· ὁλκὸς περιφραστικῶς τὸ μῆκος καὶ ἡ παράτασις τῆς γλώσσης· ἡ μὲν γλῶσσα, φησί, τραχύνεται.

80. ὁ δὲ νέατος ἴσθμος, τουτέστιν ὁ ἔσχατος, ἤγουν τὰ 20 παρίσθμια, ἃ λέγεται ἐγγὺς τοῦ φάρυγγος εἶναι, ὑποξηραίνεται ⟨ἢ τραχύνεται G[2] R P⟩.

81. ξηρὰ δέ βήσσων, διὰ χέλυος τουτέστι τοῦ στήθους τὴν ἀναφορὰν τῶν ἐρυγμάτων ποιεῖται ἄπαυστον. χελύσσεται· τὸ στῆθος πάσχει· καὶ Ἱπποκράτης· ʽ ἀναχελύσσεται καὶ 25 ἐρυγγάνει θαμινὰ πνεύματα.ʼ καὶ τῆς κιθάρας τὸ στῆθος χέλυς λέγεται.

1 τὰς ῥίζας προστάσσει λαμβ. G[1] | 2 πίνειν G[1] inde a μετὰ μέλιτος — 3 habet G[2] | 4-6 habet G[1] sch. epit., quod induxit G[2] | 7-8 usque ad ἀμέλγεται: pro hoc sch. exstat in G[1] sch. epitom. ἀγγείοις om. P | 9 πέλας R | 12 ῥυσαίνεται R | 14 ἐμπελάζεται G[1], ἐν πελάζει R | 14-17 οὐ τὰς ἐκτὸς κτέ. om. G[1] | 14 οὔλων omm. R P | 16 ξηρανθεῖεν R | 17 ἄλλοις R | 18-19 pro hoc sch. exstat in G[1] sch. epitom., quod explevit G[2] | 21 λέγονται R P εἶναι post ἐγγὺς R P ξηραίνεται R P | 23-24 usque ad ἄπαυστον om. G[1] διαφορὰν R | 24-25 χελλύσσεται R P verba τὸ στῆθος πάσχει habet G[1] | 26 ἐρυγχάνει G[1] ex corr. G[2] | 26-27 verba καὶ τῆς — λέγεται, quae exstant in G[1] ante χελύσσεται (24), transtuli | 25 cf. *Erotian.* 51. 6 *Klein*

82. *ἀβλεμὲς δὲ ἀντὶ τοῦ ἀδρανές, ὡς ἀπὸ τοῦ βλεμεαίνω.*

84. *ἄλην ἑτερειδέα· πλάνην ἀλλοιοειδῆ βλέπει, ἐνεργημάτων μὴ ὑποκειμένων φησὶ ὁρατικὴν φαντασίαν γίνεσθαι· δοκεῖ δὲ τοῖς ὀφθαλμοῖς ὁρᾶν φανταζόμενος, μὴ ὑποκειμένων ἐνεργείᾳ τινῶν πραγμάτων.*

85. *ἄλλοτε δ' ὑπναλέος· ἄλλοτε δὲ ὥσπερ κοιμώμενος ἀποψύχεται τὸ σῶμα καὶ ψυχροῦται, ὅλος καταβαρούμενος ὕπνῳ.*

86. *⟨καμάτῳ δ' ὑποδάμναται* G^1*⟩· τῷ καμάτῳ δὲ εἴκων ὑποδάμναται.*

87. *πρημαδίης· ⟨πρημαδία* G^1*⟩ καὶ ὀρχὰς καὶ μυρτίνη εἴδη ἐλαιῶν εἰσιν· οὐδὲν δὲ διαφέρει ἐκ τούτων λαμβάνειν τὸ ἔλαιον, ἢ ἐξ ὁποίας ποτέ· οἱ γοῦν περὶ τούτων πεπραγματευμένοι ψιλῶς, ἤτοι φανερῶς, παραγγέλλουσιν.*

⟨εἶαρ ἐλαίης G^1*⟩· εἶαρ ὑπὸ τῶν νεωτέρων τὸ αἷμα· καὶ Καλλίμαχος* ⟨fgm. 201⟩ *ἐλαίας τὸ αἷμα, τὸ δαῦον εἶπε·*

πολλάκι δ' ἐκ λύχνου πῖον ἔλειξαν ἔαρ.

καὶ ἡ μυρτίνη ἥδε ἐλαία ἐστὶ βραχὺν ἔχουσα καρπόν.

91. *ἀποαίνυσο γρῆυν· τὸν πεπηγότα ἀφρὸν τοῦ γάλακτος ἀπογράισον, ἤτοι τὸ πεπηγὸς τοῦ γάλακτος ἀπογράισον. γραῦς δὲ ὁ ἐπὶ τοῦ γάλακτος γινόμενος πάγος, ἐπεὶ ῥυτιδοῦται ὥσπερ ταῖς γραυσὶ συμβαίνει τὸ σῶμα ῥυτιδοῦσθαι. τὸ ἐπιπολάζων τῷ γάλακτι, ὃ οἱ Σικελοὶ σῦφαρ καλοῦσιν, ἀφελοῦ, καὶ οὕτω τὸ γάλα δὸς πιεῖν.*

93. *χυλῷ ἐνὶ κλώθοντι· τῷ ὡς νῆμα κλωθομένῳ χυλῷ τῆς μαλάχης μετὰ οἴνου κόρεσον τὸν κακηπελέοντα, ἤγουν κακῶς ἔχοντα καὶ πάσχοντα.*

95. *ἠὲ σὺ κληματόεσσαν· κελεύει κονίαν ἀπὸ κλημάτων*

2 *ἀλλοειδῆ* R | 4 inde a *δοκεῖ* — 6 om. G^1 | 7 *καταβαρυνόμενος* R P | 11 *τῷ καὶ πρημ.* est lemma in G^1 | 13-14 *πραγματευμένοι* P | 16 *ἐλαίου τοῦ αἵματος* G^1. v. *Animadv.* 16 *τὸ* om. G^1 | 17 *ἔλειξεν* G^1 *εἶαρ* codd., *ἔαρ editio Coloniensis Alex.* a. 1530 post *εἶαρ* add. G^2 quaedam ex *Eutecn.* 235b 4-11 | 18 omm. G^1 G^2 | 20 *ἀπόγραισον ἤτοι*] *ἢ* G^1 | 22 *ταῖς*] *τοῖς* R P *τὸ σῶμα συμβαίνει* R P | 23 *σῦφαρ Keil*, *σίφαρα* P, *σύφαρα, σύ......* G^2 | 24 *τὸ γάλα* omm. R P | 25-27 om. G^1 | 25 *ἐνικλώθοντι* R *τῷ ὡς νῆμα*] *τὸ ῥῆμα* P *κλωθωμένω* R | 27 *καὶ πάσχοντα* omm. R P. ad v. 94 quaedam refert G^2 ex *Eutecn.* 235b 13-14 | 28 usque ad *σπλάγχνοις* (p. 337, 4) om. G^1.

7. 10. '903

πλύναντα καλαμίνῳ καλάθῳ δινλίζειν καὶ μεθ᾽ ὕδατος θερμάναντα διδόναι πίνειν. δοκεῖ γὰρ ἡ κονία, ἤγουν ἡ τέφρα, ἤτοι ἡ στακτή, ἀπορρύπτειν ἀπὸ τῶν σωμάτων πᾶν τὸ παραπλασσόμενον τοῦ ψιμυθίου τοῖς σπλάγχνοις.

96. **ῥύμμα** δὲ τὸ σμῆγμα, ⟨τὸ κάθισμα G[1]⟩, τὸν ῥύπον. 5 φησὶ δὲ πλύνεσθαι τὴν τέφραν τὴν κληματίνην, καὶ διηθεῖσθαι ἐν τοῖς κόλποις τοῦ νεοπλεκοῦς καλάθου διὰ τὴν ἰλύν.

99. **σκλήρ᾽ ἀπὸ περσείης**· γράφεται καὶ ξήρ᾽ ⟨ἀπὸ περσείης R P⟩, ἐν τοῖς τῶν περσεῶν λέπεσιν. οἱ πολλοὶ ὀστέον καλοῦσιν, ἔστι δὲ ὅμοιον καρύῳ. Θεόφραστος οὖν ἐν τῷ δ΄ τῶν 10 Φυτικῶν ⟨H. Pl. IV 2, 5⟩ κάρυον αὐτὸ προσηγόρευσε· κάρυα δὲ λέγεται ὅλα τὰ ξυλῶδες λέπος ἔχοντα. περσείης εἶπε τὸ ἀρχαῖον ἀπὸ τοῦ Θεοδοσιακοῦ Νικάνδρου μεταγεγραμμένον.

101. **Περσεὺς ἦν ποτε.** τῶν ἄλλων ἱστορούντων τὸν Περσέα καταφυτεῦσαι τὴν περσέαν ἐν Αἰγύπτῳ, ὡς καὶ Καλ- 15 λίμαχος ⟨fgm. 139⟩·

καὶ τριτάτη Περσῆος ἐπώνυμος, ἧς ὀρόδαμνον
Αἰγύπτῳ κατέπηξεν,

ὁ Νίκανδρός φησι ἐν Μυκήναις καταφυτευθῆναι.

γονόεντα Μεδούσης· ἐπειδὴ ὁ αὐχὴν τῆς Μεδούσης 20 Γοργόνος ἀποτμηθεὶς ἐγέννησε τὸν Χρυσάορα καὶ τὸν Πήγασον, ὡς Ἡσίοδος ⟨Theog. 280⟩· ἐκ γὰρ τοῦ αἵματος αὐτῆς οὗτοι ἐγένοντο.

103. ⟨**μύκης ὅτι κάππεσεν** G[1]⟩· μύκης κυρίως τὸ ἄκρον τοῦ ξίφους τὸ κατακλεῖον τὴν θήκην. ⟨ἄλλως R P⟩· ἀπὸ τοῦ 25 μύκητος τοῦ ξίφους φησὶ πεσόντος ὠνομάσθαι τὰς Μυκήνας· τινὲς δὲ ἀπὸ ἡρωΐδος νύμφης ἧς καὶ Ὅμηρος μέμνηται ⟨β 120⟩·

1 *διαλύζειν* P | 3 *ἀπορριπτεῖν* P, *ἀπορρύπτειν* post *τοῖς σπλάγχνοις* G[2] sch. ad v. 95 praebet G[1] epitom. | 5 *σμῆγμα*] *μίγμα* R P *ῥῦπον* R, *ὕπνον* P | 6 *τὴν κληματίνην* in eras. post *διηθεῖσθαι* G[1] | 7 *νεοπλεκτοῦς* R P *καλαθίσκου* R *διὰ τὴν ὕλην* ante *ἐν τοῖς κόλποις* G[1] *ὕλην* codd., corr. *IGSchn.* | 8 *σκήρ᾽* P, *σκλήρ᾽* G[1] (sed σ add. G[2]) *τερσήεις* P *ξῆρ᾽* P, *ξηρά* G[1] | 9 *περσέων* R P, *περσῶν* G[1] ex corr. G[2], *περσεῶν* *Buss.* | 10 *ἐν τῷ ιδ΄* R, *ἐν τῷ δεκάτῳ τετάρτῳ* P | 11 *φυσικῶν* codd., *φυτικῶν* *Ald.* | 12 *λέγονται* R P *ξυλώδη λέπη* R inde a *περσείης* — 13 om. G[1] cf. *Animadv.* | 13 *θεοδοσιανοῦ* R *μεταγεγραμμένα* R P | 14 *ἦν* R P | 20-23 om. G[2], habet G[1] sch. epitom. | 20-21 *γόργονος μεδούσης* P | 22 *αὐτῆς*] *αὐτοῦ* P | 24-25 usque ad *θήκην* add. G[2] post *μυκήνη* (338, 1) | 26 *πεσόντος φησὶ* G[1].

Τυρώ τ' Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη.
Λάγγεια δὲ κρήνη τοῦ Ἄργους. καὶ Διὸς παιδί· τῷ Περσεῖ·
ζητῶν δὲ τὴν λαβὴν τοῦ ξίφους περιέτυχε τῇ πηγῇ.

106. *ἀκοσταῖς· πεφρυγμέναις κριθαῖς· βούλεται δὲ τὴν*
ἐκ κριθῆς πτισάνην λέγειν.

ἀκοσταῖς οὖν ταῖς κριθαῖς παρὰ τὸ ἄκος ποιεῖν τοῖς
νοσοῦσι πινομένας, ὅθεν καὶ τὸ ἀκοστήσας, οἷον κριθιάσας, ἢ
ἴαμα τῆς στάσεως εὑρών.

107. *Γερραίης δὲ τῆς Ἀραβικῆς. Γέρρα γὰρ πόλις τῆς*
Ἀραβίας. λιβάνοιο δὲ χύσιν, ἐπεὶ περίκειται τοῖς κλάδοις τὸ
δάκρυον τῆς λιβάνου.

108. *⟨καί τε σὺ ἢ* G^1*⟩ καρύης· οἱ μὲν τῆς καθ' ἡμᾶς*
λεγομένης καρύας, οἱ δὲ ἄλλου τινὸς δένδρου ξυλολεπῆ φέ-
ροντος καρπόν. κάρυον δὲ ὁμωνύμως λέγεται καὶ τὸ δένδρον
καὶ ὁ καρπός· ὥσπερ ⟨καὶ G^2*⟩ ἐλαία τό τε κότινον καὶ τὸ*
ἐσθιόμενον.

109. *ἢ πτελέης· ἀπὸ κοινοῦ τὸ δάκρυον· ὠσχοφόροι δὲ*
λέγονται Ἀθήνησι παῖδες ἀμφιθαλεῖς ἁμιλλώμενοι κατὰ φυλάς,
οἳ λαμβάνοντες κλήματα ἀμπέλου ἐκ τοῦ ἱεροῦ τοῦ Διονύσου
ἔτρεχον εἰς τὸ τῆς Σκιράδος Ἀθηνᾶς ἱερόν. νῦν δὲ ὁ Νίκαν-
δρος ὤσχας κέκληκε τὰ τῆς πτελέας κλήματα. ἄλλως· ὦσχη
κυρίως ὁ κλάδος τῆς ἀμπέλου, νῦν δὲ καταχρηστικῶς καὶ ἐπὶ
τῆς πτελέας εἶπε τοὺς κλάδους ὤσχας.

110. *κόμμι δὲ τὸ κομμίδιον· οὕτω γάρ ἐστιν ἡ σύστασις*
αὐτοῦ ὡς κόμμεως.

111. *ὄφρα τὰ μέν τ' ἐρύγῃσι· ὁ νοῦς οὕτως· ὅπως, φησί,*
τὰ μὲν ἐμέσῃ, τὰ δὲ πέψῃ ἐκλυθεὶς ἐν ἑψητοῖς ὕδασι, τουτέστι
λουτροῖς. ὅτε γὰρ ὑγραίνει τὸ σῶμα ὁ ἱδρώς, τουτέστι μετὰ τὸ

1 *τ' ἐυστέφανός* codd. | 2-4 verba *λάγγεια — πηγῇ* habent G^2 (post *τὴν θήκην* p. 337, 25) R P | 4-5 om. G^1 | 4 *καὶ τὴν* R P | 7 *πινόμεναι* R, *πινομέναις* P | 8 *ἴαμα* G^1 *συστασέως* *edd.* exstant in G^2 ad hoc sch. quaedam ex Eutecn. 235b 35-46 | 10 inde a *λιβάνοιο* — 11 habent G^2 R P et G^1 in sch. interl. | 11 *τῆς*] *τοῦ* G^1 | 12-13 *τῆς καρύας τῆς καθ' ἡ. λεγ.* G^1 | 13 *ξυλοπετῆ* P | 14 inde a *κάρυον δὲ* — 16 om. G^1 | 17 *ἀπὸ κοινοῦ τὸ δ.* om. G^1 | 20 *σκιρράδος* R P | 21 *κέκληκε*] *λέγει* R P | 21 *πτελέας* G^1 *πόλεως* R (sed corr. in mg. m. rec.) *ἄλλως* G^2 *ὄσχαι κ. οἱ κλάδοι* R P inde a *νῦν δὲ* — 23 om. R | 25 *κόμεως* G^1, *κόμμεος* P | 26 *ἐρρίγησιν* P, *ἐρίγησι* R *οὗτος* G^1.

ἱδρῶσαι αὐτὸν εἰς τὸ προμάλακτον, ἵνα εὐθέως ἐμβαίη εἰς τὴν ἔμβασιν καὶ χρονίσῃ, μέχρις ὅτου ἐκλυθῇ καὶ διαπέψῃ.

115. κανθαρίδος· κανθαρίδες εἰσὶ τὰ κοπροφόρα καὶ σιτοφθόρα ζῷα, οἱ λεγόμενοι κάνθαροι, ὧν ἡ μὲν ὀσμὴ ὁμοία ἐστὶ πίσσῃ χυτῇ, ὅ ἐστι τῷ ὑγροπίσσῳ, ἡ δὲ γεῦσις κεδρίσι. μηδαμῶς 5 οὖν, φησίν, ἐκεῖνο τὸ ποτὸν δέξαιο. τὰ ψήγματα δὲ τῆς κέδρου, κέδρου λέγει κάρφη.

117. χαλινοῖς· τοῖς στόμασι· τὰ γὰρ χαλινὰ τοῖς στόμασιν ἐμβάλλονται. ἡ γεῦσις τοῦ φαρμάκου οὕτω διατίθησιν, ὥσπερ αἱ κεδρίδες ἀρτίως ἐδηδεσμέναι. 10

119. ὅτε μὲν πλαδόωντι· ἀντὶ τοῦ ποτὲ μὲν δηγμὸν ποιοῦσιν ἐπὶ τῷ διύγρῳ ποτῷ ποθέντι τῷ χείλει, ποτὲ ⟨δὲ G[1]⟩ περὶ τὰ νείατα καὶ ἔσχατα τῆς γαστρός, τουτέστι περὶ τὸ στόμα αὐτῆς, ἤγουν περὶ τὸν στόμαχον. οἱ μὲν οὖν στόμαχον, ἄλλοι δὲ πύλην, ἄλλοι δὲ δοχεῖον βρωμάτων τὴν γαστέρα ὀνομάζουσιν. ἐκ δὲ τοῦ στόμια γίνεται κατὰ συγκοπὴν στόμα, ὡς μηρία μῆρα. 15

121. . . . . . . ἡ γαστὴρ δάκνεται ἢ ἡ κύστις· βιβρῳσκομένη ἡ κύστις δηλονότι τιτρῳσκομένη.

123. χόνδρος· τοῦ στομάχου ἔντερον, ὅθεν καὶ ὑποχόνδριά φαμεν· ἢ μέρος τοῦ θώρακος, μεθ' ὃ τὰ ὑποχόνδρια. ἀπὸ κοινοῦ δὲ τὸ δάκνεται. 20

124. ἄλη δέ φιν. τὸ φιν παρέλκει. περιφραστικῶς δὲ ἤθεα φωτὸς ἀντὶ τοῦ τὸν φῶτα, ὅ ἐστι τὸν ἄνδρα.

126. οἷά τε δὴ γήρεια. οὕτω φέρεται αὐτῶν ἡ γνώμη, ὡς ἀκάνθης ἄνθος· γήρεια δὲ τὰ ἄνθη τὰ λευκὰ καὶ πολιοειδῆ· πάππος δὲ ὁ καυλὸς αὐτῶν, ἐξ οὗ θρύπτονται καὶ πίπτουσιν· ἢ αὐτὴ ἡ σύστασις. 25

1 τὸ] τὸν R προμάλακτρον P | 2 μέχρις om. R ἐκλυθῇ] διαλυθῇ P | 3-7 pro hoc sch. habet G[1] sch. epitom. | 4 σιτοφόρα R P, σιτοβόρα G[2], σιτοφθόρα IGSchn. | 7 κεδρία λέγει κάρφη codd., sed in mg. R m. rec. κάρφη κέδρου, quae recepi coll. Nic. Alex. 118 | 8-10 L. | 11 αἱ δ' ὅτε μὲν R P | 12 τῷ om. P | 14 inde a οἱ μὲν — 17 om. G[1] | 14-15 οἱ δὲ πύλην G[2] | 17 μηρά R P | 18-19 G[2]; num ante ἡ γαστὴρ lemma inserendum ἐπιδάκνεται? | 20-21 ὑποχόνδριον R P ἢ] ὃ R | 21-22 verba ἢ μέρος κτέ. om. G[1] | 23 ἄλλη R P σφι P φι R utroque loco. ad hoc sch. adnotavit mg. inf. R manus recens: οἶμαι τὴν γνώμην τοῦ φωτὸς ἐκ τοῦ στομάχου | 26 ἄνθος] εἶδος G[1] | 26-27 πολυειδῆ R P | 27 θρύπτεται G[1].

128. *τῷ δὲ σὺ πολλάκι·* τούτῳ δέ φησι τῷ φαρμασσομένῳ σὺ τὸν γλήχωνα ταῖς ποταμίαις νύμφαις τεύξαις κυκεῶνα τουτέστι γλήχωνα, μετὰ ὕδατος.

129. *ἐμπλήδην·* ἀντὶ τοῦ πεπληρωμένον πόροις, ὡσανεὶ δίδου.

130. *νηστείρης Δηοῦς·* ἰστέον ὅτι τῆς Κόρης, ἤγουν τῆς Περσεφόνης, ἁρπαγείσης ὑπὸ τοῦ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ νῆστις περιήρχετο ζητοῦσα αὐτήν, ⟨καὶ δὴ περιερχομένη καὶ ζητοῦσα αὐτὴν G[1]⟩ ὑπεδέχθη ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος, ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας· ἥτις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν καὶ ἐκέρασεν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει. ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτὴν οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρός. ἀλφίτων δὲ κυκεῶνα ἐκέλευσεν ⟨αὐτῇ G[1]⟩ παρασκευάσαι, ὃν δεξαμένη ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας ἀθυμοῦσαν τὴν θεὸν ὁρῶσα γελοιώδεις λόγους καὶ σκώμματά τινα ἔλεγε πρὸς τὸ γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥηθέντα, ⟨ἅπερ αὐτὴ πρῶτον εἶπεν G[1]⟩, ὑπ᾽ αὐτῆς ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα, ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι. Ἰάμβη δὲ θυγάτηρ ⟨ἦν G[1]⟩ Ἠχοῦς καὶ τοῦ Πανός, Θρᾷσσα τὸ γένος. *μορόεν ποτόν·* τὸ ἐν κακοπαθείᾳ δοθέν. ὅτι δὲ διὰ γλήχωνος ἔπιεν ἡ Δημήτηρ κυκεῶνα καὶ διὰ τὴν χλεύην ⟨τῆς G[1]⟩ Ἰάμβης ἐγέλασεν ἡ θεά, ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις ὕμνοις ⟨h. in Cer. 192⟩ λέγεται.

μορόεν ποτόν. ἢ πολυέψητον, ἢ μορίδιον ἀντὶ τοῦ αἴσιμον, ὃ ἄν τις ἐπὶ τοῦ συμφέροντος ἐκδέξαιτο, ἢ τὸ ἁρμόζον τῷ πάθει, ὡς Ὅμηρος ⟨I 59⟩·

ἐπεὶ κατὰ μοῖραν ἔειπας.

133. *ἀθύροισιν·* ὑπὸ τοῖς παιγνιώδεσι λόγοις τῆς Θρᾳκικῆς Ἰάμβης, καὶ τὰ ἑξῆς.

1 post lemma inserunt R P *περὶ* (*τῶν* add. R) *φαρμάκων τῶν κανθαρίδων*, quae e mg. irrepsisse patet | 2 *τεύξας* P, *πύξας* R | 4 *πεπλ.*] *πληρώσας* R P | 7 *ἁρπασθείσης* voluit *Abel* | 8 *περιέρχετο νῆστις* R P | 9 *δὲ ἐν* R P | 14 *αὐτῇ Abel* | 15 *ῥαθυμοῦσαν* P *vulgo* | 16-17 *σκ. ἔλεγεν ἅτινα πρὸς τὸ γ.* R P | 17 *αὕτη* G[1], corr. *IGSchn.* | 21 *ἡ μήτηρ* R | 25-28 verba *μορόεν — ἔειπεν* (pro *ἔειπας*) exhibent R P post *λίνοιο* (p. 341, 3); pro his non nulla habet G[1] epitomata, praemisso vocabulo *ἄλλως*, quae omisi | 25 *μοιρίδιον* con. *Buss.*, *μοιρίδιον ἤτοι αἴσιον κτέ.* L. ad hunc locum quaedam add. G[2] ex *Eut.* 236a 30-32 | 26 *ἐκδέξοιτο* P | 29-30 R P.

134. *εὐτροχάλοιο δὲ λίνου*· τουτέστι τὴν κεφαλὴν ἑψηθεῖσαν σπέρματι λίνου, ἤτοι τῷ λινοσπέρμῳ καλουμένῳ. γράφεται καὶ εὐτροχάλοιο λίνοιο.

137. *ἐς δ' ἔμετον κορέσαιο*· ἀντὶ τοῦ ἕως ἐμέσῃς, κορέσθητι, τὰ δὲ φάρμακα ἀθρόα κάτωθεν ἀναβάλλοις.

138. ⟨*ἐμματέων* G^1⟩· τοὺς δακτύλους καθιεὶς διὰ τοῦ στόματος εἰς τὸν φάρυγγα· ἐμματεῖν γάρ ἐστι τὸ καθιέναι τοὺς δακτύλους εἰς κοῖλον τόπον. ⟨καὶ G^1⟩ Ὅμηρος ⟨Υ 425⟩·

ἐγγὺς ἀνήρ, ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,

τουτέστι καθήψατο τῆς ψυχῆς καὶ οἱονεὶ ἐνέβαλεν εἰς αὐτὴν χεῖρα. ⟨ἄλλως G^1⟩· ἐμματεῖν ἐστὶ τὸ εἴς τινα καθιέναι καὶ ἅπτεσθαί τινων. βούλεται οὖν δηλοῦν τὸ καθιέντα τοὺς δακτύλους ἐμεῖν βιάζεσθαι ἔτι τοῦ ληφθέντος ἐν τῇ κοιλίᾳ παρακειμένου καὶ μήπω διὰ τῆς πύλης ὡρμηκότος πρὸς ἀνάδοσιν· τότε που μετ' αὐτῆς τῆς τροφῆς συναπενεχθήσεται καὶ τὸ φάρμακον.

μεμιασμένα δὲ δόρπα· ἄπεπτα καὶ ῥυπαρά· καὶ μεμολισμένα, τὰ δόρπα, τοῖς ἰοβόλοις φαρμάκοις, ἀναβάλλοις ἐν τῇ πύλῃ τῆς γαστρὸς καθιεὶς τοὺς δακτύλους.

139. *νέον γλάγος*· νεωστὶ ἀμελχθὲν γάλα βαλὼν ἐν ἐργαλείῳ δὸς ἔνεμα, φησί, διὰ τῆς ἕδρας, ὅπως ὑπάρδῃς τὴν γαστέρα. *ἀφόρδια* γὰρ τὰ ἀφοδεύματα, οἱονεὶ τὰ ἄποθεν τῆς ὁδοῦ, ὥσπερ καὶ ἀποπατήματα τὰ ἄποθεν τοῦ πάτου, ἤτοι τῆς ὁδοῦ. Ὅμηρος ⟨Ζ 202⟩·

πάτον ἀνθρώπων ἀλεείνων.

142. *ἠὲ σύγ' ἀμπελόεσσαν*· κόψαι κελεύει κλήματα ἀμ-

1 *δὲ λίνου*] *σελίνου* R G^1 | 2 *λίνου*] *σελίνου* R *ἤτοι — καλουμένῳ* om. G^1 *σελινοσπέρμω* R | 2-3 verba *γράφεται — λίνοιο* om. R | 4 *κεράσαιο* P | 6-7 pro *διὰ τοῦ στ. εἰς τὸν φ.* habuisse videtur G^1 *εἰς τὸ στόμα*, quae voluit et *Abel* | 7 *ἐμμάττειν* P, *ἐμμάτειν* codd. rell., corr. *Buss.* | 9 *ἐπεμάσσατο* R P | 10-11 *εἰς τὴν αὐτοῦ χ.* P, *τὴν ἑαυτοῦ χ.* R | 11 *τινα*] *τι* R | 12 *καθιέναι* R | 15 *που*] *γὰρ* R P *συνενεχθήσεται* G^1 | 17 *ἄπεπτα ὡς ῥ.* P, *ἅπτεσθαι ῥ.* R | 17-18 *μεμολισμένα*] *μεμιασμένα* G^1 *τὰ δόρπα* om. R *ἀναβάλλοις* post *γαστρὸς* G^1, *ἀναβάλλει* R | 20-25 G^2 R P | 20 *νέον γάλακτος* P | 20-21 *ἐν ἀγγείῳ* P *ἔναιμα* G^2 P om. R corr. *IGSchn.* *φασι* R *ὑποάρῃς* P, *ὑπὸ ἄρῃς* R, *ὑποάρδῃς* *Col.*, *ὑπάρδῃς* *IGSchn.* | 22-25 *ἀφόρδια κτέ.* habet etiam G^1 in sch. epitom. *ἀμφοδεύματα* P | 26-28 hoc sch. habet etiam G^1 epitomatum | 26-27 *ἀμπελόεντα* R P.

πέλου χλωρὰ σὺν τοῖς φύλλοις, καὶ ἐν γλεύκει ἢ μέλιτι ἑψήσαντα δοῦναι πιεῖν· τοῦτο γὰρ παραδεκτέον.

145. *ψαφαρῆς ἐκ ῥίζεα γαίης· τῆς πετρώδους καὶ ὀρεινῆς γῆς· ἐν τοιαύτῃ γὰρ γῇ ἡ βοτάνη γίνεται.*

5 146. *αἰὲν δὲ κεντρήεντα· διὰ παντὸς τραχύτητα ἔχοντα. ὕψι· τουτέστι τοῖς κλωσὶν ὑψηλήν· τὴν τοιαύτην γοῦν βοτάνην, ἤγουν τὸ σκορπίουρον, δὸς τῷ πεφαρμαγμένῳ ἑψηθεῖσαν μετὰ μέλιτος πιεῖν.*

147. *ἡ μολόθουρος βοτάνη ἐστίν, ἀειθαλὴς δέ· διὸ καὶ* 10 *Εὐφορίων φησί* ⟨fgm. 64⟩·

πτῶκες ἀειχλωροῖσιν ἰαύεσκον μολοθούροις.

ἔνισχνα δὲ καύλεα· ἀντὶ τοῦ ἰσχνὰ καὶ καλαμώδη καὶ λεπτὰ καυλεῖα ποιεῖ· τὰ γὰρ εἰς ὕψος ἀνατρέχοντα φυτὰ λεπτὰ καυλεῖα ποιοῦσιν.

15 149. *Παρθενίης· Παρθενία οὐχ ὅλη ἡ Σάμος, ἀλλά τις ἐν αὐτῇ εὑρεθεῖσα γῆ. Φυλλίς· τὸ καλούμενον Γεωφάνιον ἐν Σαμοθρᾴκῃ καὶ Μελίφυλλον ἐκαλεῖτο. Νίκανδρος δὲ Φυλλίδα καλεῖ.*

⟨*Παρθενίης ἣν Φυλλίς* G[1]⟩· *Σαμίας κελεύει δ' δραχ-* 20 *μὰς λαμβάνειν. Παρθενία γὰρ ἡ Σάμος ἐκαλεῖτο, καὶ Φυλλὶς μία τῶν νυμφῶν.*

150. *Ἰμβρασίδος· τῆς Σαμιακῆς, Ἴμβρασος γὰρ ποταμὸς ἐν Σάμῳ, ἣν κριὸς λέγεται εὑρηκέναι· ταύτης δὲ τὸ χρησιμώτερον Ἀστὴρ καλεῖται, ἐξ ἧς βούλεται ἡμᾶς ὁ Νίκανδρος λαμ-* 25 *βάνειν.*

151. ⟨*ἀμνὸς Χησιάδος* G[1]⟩· *ἀμνός ἐστιν ὁ μηδέπω κέρατα ἔχων. πῶς οὖν οὗτος κεράστην αὐτὸν εἶπεν οὐκ ὀρθῶς; Χησιεῖς δὲ πρῶτον κατῴκησαν ἐν Σάμῳ, εἶτα Ἀστυπαλαιεῖς.*

153. *διπληθέα· διπλῆν κελεύει πόσιν τῶν τεσσάρων δραχ-*

1 *φίλοις* P *μέλιτι ἢ γλεύκει* R *ἑψήσαντι* P | 3-4 G[2]RP | 3 *δὲ ῥίζεα* P, *δὲ ῥιζία* G[2] | 6 *ὕψι — ὑψηλήν* G[2]RP *ὑψηλός* RP | 6-8 *τὴν τοιαύτην κτέ.* G[2] | 9-11 RP | 9 *ἡ* R, *ὁ* P | 11 *ἀεὶ χλωροῖσιν* codd. *ἴανες κοι* R | 12 *ἔνιχνα* P *καυλέα* codd. | 13 *καυλεῖα* G R utroque loco, *καυλία* P | 15 *ἡ ὅλη σ.* RP, *αὐτὴ ὅλη ἡ Σ.* G[1] | 16 *ἣν ἡ Φυλλίς* est lemma in G[1] | 17 *μελιφύλλιον* codd., corr. *IGSchn.* | 22 *Ἴμβρος* codd. corr. *IGSchn.* | 23-24 *χρήσιμον* R | 25 ad hunc fere locum quaedam descripsit G[2] ex *Eut.* 236b 1-10 | 27 *πῶς οὖν αὐτὸς κ. εἶπεν αὐτόν* RP | 28 *χησιεῖς* om. R, *χ . . εῖς* P *ᾤκησαν* RP | 29-343, 2 G[2]RP. sch. epitom. habet G[1] quod explevit G[2] *διπλήρεα* P, *διπληρέα* R.

μῶν δοῦναι, ὅ ἐστιν ὀκτὼ δραχμῶν, καὶ σὺν τῷ ἑψήματι πηγανίου κλῶνας δοῦναι καὶ ῥόδινον μύρον ἢ ἴρινον μύρον.

155. ὀργάζων δὲ ἀντὶ τοῦ μιγνύων τὴν γῆν τὴν Παρθενίαν ἢ ἀναδεύων καὶ βρέχων ἐλαίῳ ῥοδίνῳ ἢ τῷ ἀπὸ ἴριδος γινομένῳ μύρῳ ἤγουν ἐλαίῳ ἄλειψον μετὰ πηγανίου κλάδων.

157. ἤν γε μέν· ὡς πρὸς δεύτερον πρόσωπον ἀποτείνεται περὶ τρίτου τινός· περὶ τοῦ ἀγρίου δὲ κορίου τῆς βοτάνης λέγει· εἴδη γὰρ ταύτης εἰσὶ δύο, ἥμερόν τε καὶ ἄγριον, ὧν τὸ μὲν ἥμερον εὐῶδές ἐστι καὶ ἡδύ, τὸ δὲ ἄγριον παραπλήσιον τῷ ἡμέρῳ, πλατυφυλλότερον δὲ καὶ εὐμηκέστερον, καὶ πολλὰς ἔχον παραφυάδας, καὶ πολύρριζον καὶ πολυανθές· τοῦτο δὲ βρωθὲν ἢ ποθὲν ἢ ἄλλως πως προσενεχθὲν θανάσιμον.

158. ἀφραδέως ⟨δὲ εἶπεν, ὅ ἐστιν R P⟩ ἀφρόνως καὶ ἀπείρως· τὸ γὰρ χύλισμα τοῦ κορίου τῆς γεύσεως ἀλλότριον ὑπάρχον οὐ δύναται λαθεῖν διδόμενον, εἰ μή τις αὐθαιρέτως αὐτὸ βουληθείη λαβεῖν ⟨ἐν καιρῷ περιστάσεως G[2] R P⟩.

160. λαβράζουσιν· ἐν τῷ δήμῳ λαβρῶς φωνοῦσι. καὶ Ὅμηρος ⟨ψ 474⟩·

τί πάρος λαβρεύαι;

καὶ Αἰσχύλος ⟨Prom. 327⟩·

μὴ λαβροστόμει.

παραπλῆγες δὲ ἀντὶ τοῦ παράφρονες· τὸ δὲ ἑξῆς· παραπληγέντες τῷ οἴστρῳ· ὁ δὲ οἶστρος ζῷόν ἐστι παραπλήσιον ⟨μεγίστῃ G[2] R P⟩ μυίᾳ κέντρον ἔχον ἐπίμηκες.

161. ὀξὺ δὲ μέλος· τὸ διατεταμένον καὶ μέγα· καὶ ἀταρ-

2 ῥόδ. μοῖρον R | 3 ὀργάζων δὲ καὶ μιγ. G[1] | 4 ἀναδεύων καὶ βρέχων] καταβρέχων R P post ῥοδίνῳ (ῥοδέῳ R) inserunt *edd.* ἄλλως alterum ἢ add. *IGSchn.* | 4-5 τῷ ἀπὸ κτέ. om. G[1] γινομένης P, *edd.* | 5 ante ἄλειψον habent codd. τουτέστι τὸ ῥόδινον (ῥόδιον R P) ἔλαιον μίξας quae, hoc loco posita, sensu carent: τουτέστι τῷ ἰρίνῳ ἐλαίῳ con. Keil: ut glossam e margine irreptam omisi πηγάνου codd. | 7-9 pro περὶ τοῦ — καὶ ἡδύ G[1]: τὸ δὲ κόριον (ἤτοι κορίανδρον add. G[2]) δισσὸν λέγεται εἶναι, τὸ μὲν ἥμερον ἡδύ τε καὶ εὐῶδες | 7 κηρίου R P, *edd.* | 10 πλατυφυλέστερον P | 11-12 βρωθὲν ἢ om. R, ποθὲν ἢ om. G[1] add. G[2] | 12 add. G[1] ἄλλως· περὶ τοῦ ἀγρίου τῆς βοτάνης (τ. β. add. G[2]) λέγει. φησὶ (εἰσὶ *Abel*) δὲ τούτου δύο γένη, ὡς εἴρηται | 13-16 Hoc sch. exhibet G[1] post τινός (l. 7) | 19 λαβεύαι R P | 22-23 usque ad τῷ οἴστρῳ om. G[1] παραπληγέες R | 23 ζῷόν τί ἐ. R P παραπλήσιον] ὅμοιον R P | 3 κέντρον ἔ. ἐ. om. G[1] | 25 usque ad μέγα· καὶ R P.

μύκτῳ· ἀφόρβῳ· ἀπὸ δὲ τοῦ τάρβους καὶ τοῦ μύειν συντέθειται ἡ λέξις.

163. *Πράμνιος οἶνος*· ἀπὸ ἀμπέλου Πραμνίας, ἣν καὶ ψιθίαν καλοῦσί τινες. *αὐτοκρηὲς* δὲ ἀντὶ τοῦ αὐτοκέραστον,
5 ἀμιγές, ἄκρατον.

164. *ἁλὸς ἔμπλεα κύμβην*· ἀντὶ τοῦ πεπληρωμένον τοῦ θαλασσίου ὕδατος τὸ τρυβλίον.

165. τὸ δ' *ὀρταλίχων* ἁπαλὴν γράφεται καὶ ἀλαλήν, ἤτοι ὅτι ἐστέρηται τοῦ λαλεῖν ἢ ὅτι χωρὶς στεναγμοῦ τίκτει.
10 ὀρταλίχων νῦν τὰς ὄρνιθας λέγει· οὐ γὰρ τὰ νήπια ὠοτοκεῖ, ἀλλὰ τὰ τέλεια. κελεύει τὸ ὠὸν κενῶσαι καὶ ἀφρὸν θαλάσσης συμμιγνύντα πληρῶσαι· ὅστις ἀφρὸς τροφὴ τοῦ κέπφου ὢν καὶ θανάτου αὐτῷ παραίτιος γίνεται· οἱ γὰρ ἁλιεῖς χερσὶ τὸ θαλάσσιον ὕδωρ ἀνακλύζοντες ἀφρὸν προσενεγκεῖν καταναγκάζουσι
15 καὶ τοῦτον δολίως τῷ κέπφῳ προτείνουσιν, ὁ δὲ τὸν ἀφρὸν λαβεῖν ἐφιέμενος εἰς τὰς χεῖρας αὐτῶν ἔρχεται καὶ οὕτως θηρεύεται. ὁ δὲ κέπφος θαλάσσιόν ἐστιν ὄρνεον παραπλήσιον λάρῳ, ὅπερ ὡς εἴρηται ὑπὸ τῶν ἁλιέων ἁλίσκεται.

167. *τῷ γὰρ δὴ ζωήν τε*· τούτῳ γὰρ καὶ τὴν ζωὴν σῴζει,
20 ἤγουν τῷ ἀφρῷ διὰ τοῦ ἐσθίειν καὶ τὸν θάνατον καταλαμβάνειν δι' αὐτοῦ.

171. *ἀγλεύκην*· ἀγλυκῆ καὶ πικρὰν καὶ ἐστερημένην γλεύκης, ὅ ἐστι γλυκύτητος.

172. *ἀτμεύειν* δὲ ὅ ἐστι δουλεύειν, ὑποκεῖσθαι. ὡς μῦθον

1 *συντίθεται* G[1]; in his verbis (p. 343, 22-344, 2) edendis ordinem servavi codicum R et P. ceterum post *παράφρονες* (p. 343, 22) habet G[1] verba *ἀταρμύκτῳ — λέξις* et deinde: *οἶστρος — ἐπίμηκες* (verba *κέντρον ἔ. ἐπίμηκες* add. G[2]), sed post *λέξις* inseruit G[2] *τὸ δὲ ἑξῆς· παραπλ. τὰς φρένας τῷ οἴστρῳ τῷ ἀταρμ. καὶ ἀφόβῳ* | 3-7 om. G[1] | 4 *αὐτοκόρεστον* P, *edd.* | 6 *κύμβιν* P *πεπληρωμένην* R P | 7 *ὕδατος*] *κύματος ὕδατος* P (sic). post hoc sch. quaedam add. G[2], quae desinunt verbis ... *ὦσι μετ' αἰσχρολογίας*. Cf. *Animadv.* | 8 sqq. Sch. exstat in G[1] epitom. ad hunc v. | 8-11 usque ad *τὰ τέλεια* R P | 9 *ἤτοι ὅτι*] *ἤτοι ὅτε* R | 10 *οὐ*] *καὶ* R | 11 post *τὰ τέλεια* R P *ἡ μήτηρ* glossam, ut patet, ad *τὰ τέλεια*. haec habet R in mg. ad hunc locum m. rec.: *ἴσως· καὶ γὰρ τὰ νήπια οὐκ ὠοτοκεῖ ἀλλὰ τὰ τ., εἰ μὴ* (*εἰ μὴ* pro *ἡ μῆρ*, quod est in textu) *κελεύει τὸ ὠὸν κενῶσαι* | 11 *τὰ τέλεια* — 18 G[2] R P | 12 *συμμιγνύντα πληρῶσαι*] *συμμίξαι* G[2] | 13 *χερσὶ* om. R | 14 *ἀναγκάζουσι* G[2] | 18 post *ἁλίσκεται* quaedam descripserat G[2], quae evanuerunt | 19-21 G[1] | 20 *θάλλατον* G[1] | 22-23 R P | 24 *μῦθος* R P G[1] (sed corr. G[2])

γὰρ λέγει ὅτι ἀνέμοις θάλασσα καὶ πῦρ δουλεύει, καὶ θάλασσα μὲν δεσπόζει νηῶν, πῦρ δὲ ὕλης.

⟨ἄλλως G[1]⟩· ἀτμεύειν· δουλεύειν· ἀτμένες γὰρ οἱ δοῦλοι· ὅτι δὲ δουλεύει ἡ θάλασσα καὶ τὸ πῦρ ἀνέμοις, κατὰ θεῖον νόμον δηλονότι, τοῦτο δὲ καὶ Ἡράκλειτος καὶ Μενεκράτης εἴρηκε. 5

174. ⟨πῦρ μὲν ἀείζωον G[1]⟩· τὸ μὲν πῦρ ἀείζωον καὶ τὸ ἀχύνετον ὕδωρ ἔτρεσε τοὺς ἀργέστας, οἱονεὶ τοὺς ἀνέμους. ἀχύνετον δὲ τὸ πολύχυτον, τὸ γὰρ α ἐπιτατικόν ἐστιν. βούλεται δὲ διὰ τούτων ἐκτίθεσθαι καὶ Ἡράκλειτος ⟨fgm. XX Byw.⟩, ὅτι πάντα ἐναντία ἀλλήλοις ἐστὶ κατ᾽ αὐτόν. 10

175. ἀκοσμήεσσα· ἡ ἄκοσμος, ἡ ἄτακτος, ἡ μὴ κοσμίως κινουμένη. φιλοργής· διὰ τὸ ῥοῶδες· ἡ φιλοῦσα ὀργίζεσθαι καὶ ὀργᾶν καὶ μαίνεσθαι διὰ τὰς τρικυμίας.

176. δεσπόζει νηῶν· τῇ γὰρ θαλάσσῃ ὑπόκεινται τὰ πλοῖα, τῷ δὲ πυρὶ ἡ ὕλη. ἐμφθορέων δὲ αἰζηῶν· τῶν ἐν 15 θαλάσσῃ φθειρομένων.

177. ὕλη δ᾽ ἐχθομένοιο· ἡ δὲ ὕλη ὑπακούει καὶ πείθεται κατὰ τὸν θεσμὸν τοῦ ἐχθομένου πυρός· οὐ καθόλου δὲ ⟨τὸ πῦρ ἐχθόμενον λέγει, R P⟩ ἀλλὰ τῇ ὕλῃ ἐχθόμενον διὰ τὸ ἀφανίζεσθαι αὐτὴν ὑπ᾽ αὐτοῦ. 20

178. ἀτμένιον· ⟨πολυδούλευτον καὶ πολυκατέργαστον, ἤτοι R P⟩ τὸ μετὰ πολλοῦ καμάτου ⟨γινόμενον G[1]⟩ διὰ τὴν τοῦ ἐλαίου σκευασίαν· ἣ ὃ οἱ δοῦλοι καὶ οἱ γεωργοὶ κατεσκεύασαν, οἱ δὲ τὸ θαλάσσιον ὕδωρ, ἐπεὶ καὶ ἀνωτέρω ⟨172⟩ εἴρηκεν·

ἥν τε καὶ ἀτμεύειν. 25

κελεύει δὲ ἔλαιον μετὰ οἴνου μιγνύντα νεωστὶ πεπατημένου πίνειν· ἢ χιόνα μετὰ γλεύκεος.

180. ζάγκλησι· ταῖς δρεπάναις τῶν τρυγητῶν.

181. ῥυσσαλέην δὲ τὴν ἐρρυσσωμένην, ἤτοι τὴν πεπαν-

2 νῆας R | 3 ἀτμένεις R P | 5 Verba τοῦτο — εἴρηκε om. R, τοῦτο δὲ καὶ Ἡρ. om. P | 8 τὸ ᾱ γὰρ R | 8-9 ἐκτιθέσθαι οὖν βούλεται διὰ τούτον Ἡ. R P | 10 κατ᾽ αὐτήν R | 11 κοσμίως] κοσμία, ut videtur, R | 14 ὑπόκειται P | 15 ἐμφθορέων — 16 om. G[1] | 17 ἀχθομένοιο R constanter cum P, sed lemma om. P | 19 τῇ ὕλῃ ἐχθομένου G[1] | 20 διὰ τὸ ἀφαν. κτέ.] ὡσανεὶ διὰ τὸ καίειν αὐτήν G[1] | 24 εἴρηται R P | 26 μιγ. μετὰ οἴνου R P νεωστὶ om. G[1] πεπατημένου] τῇ θαλάσσῃ G, quod induxit G[2] | 28 om. G[1] | 29-346, 3 dedi ex G[2] R P, habet G[1] sch. epitom. | 29 ῥυσαλέην R ἐρυσσωμένην G[2].

ϑεῖσαν καὶ πέπειρον. καὶ ἐδανοῖο τοῦ γλυκυτάτου γλεύκεος. ψιϑία δὲ εἶδος ἀμπέλου, ἥτις καὶ Πραμνία λέγεται· καὶ ἐλίνοιο τοῦ κλάδου τῆς ἀμπέλου.

182. *κείροντες ϑλίβωσι· κόπτοντες πατοῦσι καὶ πιέ-*
5 *ζουσιν.*

ὅτε ῥοιζηδά· ⟨*τῷ καιρῷ, ὅτε ῥοιζηδὸν* G^1⟩ *αἱ μέλισσαι ἐπὶ ταῖς ῥαξὶ τῶν βοτρύων πεσοῦσαι νέμονται τὸ γλεῦκος* ⟨*καὶ τὸ γάνος* R P⟩.

183. *πεμφρηδὼν δὲ ζῷόν ἐστι τῶν σφηκωδῶν, μεῖζον*
10 *μὲν μύρμηκος, μελίσσης δὲ ἔλασσον, ἐπτέρωται δὲ καὶ ποικίλην ἔχει λευκῷ καὶ μέλανι τὴν ἐπιφάνειαν· τοῦτο δὲ κατὰ τὴν ὀρεινὴν νεμόμενον δρέπεται ἀπὸ τῶν ἐν τοῖς ἄγκεσι ϑάμνων παντοῖα ἄνϑη, καὶ φερόμενον εἰς τὰς κοίλας καϑίπταται δρῦς. καὶ αἱ βέμβικες δὲ τῶν σφηκωδῶν εἰσιν εἶδος μελισσῶν, ἃς ἔνιοι*
15 *βόμβυκας καλοῦσι. ταῦτα δὲ πάντα εἴδη μελισσῶν εἰσιν, ἃ δὴ ἐπινέμεται πεπείρους ὄντας τοὺς βότρυας.*

185. *κηκὰς ἀλώπηξ ἤτοι κακωτική, κακοποιός, κακοῦργος ἢ χλευαστική.* ***Καλλίμαχος*** ⟨fgm. 253⟩·

κηκάδι σὺν γλώσσῃ.

20 186. *καί τε σὺ κωνείου· τοῦτο οἱ μὲν κοριανόν, οἱ δὲ ἀννησοειδὲς καλοῦσι. σημεῖον δὲ τούτου τὸ καρεβαρεῖν. φοινὸν δὲ ἀντὶ τοῦ πεφοινιγμένου· ἢ ὀλέϑριον, φόνιον, κατὰ πλεονασμὸν τοῦ ι.*

189. *ἴχνεσι δὲ σφαλεροί τε· σφαλλόμενοι δὲ τοῖς σκέλεσι*
25 *ταῖς χερσὶ βαδίζουσιν, ὅ ἐστι πίπτοντες ἐπερείδονται αὐταῖς.*

1 *τοῦ ἡδυτάτου* G^2 | 3 sqq. Scholia ad v. 181 et 182 coniuncta sunt in G^2 R P, lemma omm. G^2 P, *ϑλίβωσι* habet R post *κόπτοντες*, omisso *κείροντες* | 4 *πατῶσι* codd., em. *Buss.* *πιέζωσιν* codd., em. *Col.* | 9-16 G^2 R P. habet G^1 sch. epitom. quod explevit G^2 | 9 *ζώων* R P, evanuit in G^2, *ζῷον edd.* | 14-15 *καὶ αἱ — καλοῦσι* R P post *δρῦς* (13) scholii cuiusdam relliquiae exstant in G^2: *κ* .... *α* ...... *ἑ* ..... *το λεγόμενον* .....; quas ad *ἐδανοῖο* (v. 181) dubitanter refert *W.* | 14 *βέμβικες* R, *βεμβίδες* P, *βεμβῖδες* con. *Keil.* | 15 *βόμβικας* P *Vári*, *βέμβικας* R, *βόμβυκας* scripsi | 19 *κεκαδίας* R | 20-23 dedi ex R P; scholia epitom. exhibet G^1 | 20 post *τοῦτο* habent R P inserit G^2 *οἱ μὲν κροκεανόν* | 21 *ἀνησοειδὲς* G^1 | 22 *φόνιον* corr. G^2 in G^1 ex *φόνον.* ad hoc sch. quaedam add. G^2 post *τοῦτο* (20) in mg.: ....*γμεν* ...... *π* ... *ζου* .... fortasse: *πεφοινιγμένον τοῖς ποτίζουσιν* | 24 *σκέλεσι*] *πόδεσσι* R | 25 *ὑπερείδονται* R.

191. *στεινὴν ἐμφράσσεται*· ἤτοι τὰ ἐσωτέρω καὶ κατωτέρω τοῦ στόματος.

192. *περὶ δὲ φλέβας*· αἱ ἀρτηρίαι, φησί, μεγάλως σφύζουσιν, ἢ πρὶν ἐρρωμέναι συστέλλονται.

193. *ἀτύζει* δὲ νῦν ἀτενίζει, βλέπει, ἢ ἕλκει, ὅ ἐστι σπᾷ τὸν ἀέρα καὶ ὀλίγον ἀναπνεῖ, εἰ καὶ ἐπὶ τῆς ταραχῆς αὐτὸ τέθεικεν Ὅμηρος εἰπών ⟨Z 468⟩·

πατρὸς φίλον ὄψιν ἀτυχθείς.

γράφεται καὶ ἀλύξει, οἷον· ἠέρα παῦρον ἀλύξει.

194. *κατηβολέων*· λειποθυμῶν, τὴν ὑστάτην εἱμαρμένην ἔχων· ὁ δὲ οἷα ἐν καταβολῇ ὢν καὶ κάτω διὰ λειποθυμίαν βλέπων, ὀλίγον ἀέρα διὰ τῆς ἀναπνοῆς ἕλκει τὸν θάνατον ὁρῶν, καὶ καταπίπτει.

197. *ἠὲ σύγε κλυστῆρος*. τεῦχος κατασκεύαζε ἐμβαλών, ἀντὶ τοῦ παραπέμψας· ἐν δὲ τῷ μὴ λέγειν κλυστῆρα ποῖον, δηλονότι κοινὸν λέγει.

198. *Δάφνης Τεμπίδος*· Θεσσαλικῆς, διότι πρῶτον ἐκεῖ εὑρέθη.

200. *κατέστεφε δὲ χαίτην Δελφίδα* εἶπε διὰ τὸ τὴν κόρην διωκομένην ὑπὸ Ἀπόλλωνος εἰς τοῦτο τὸ φυτὸν μεταβληθῆναι, ἐξ οὗ ἔχει καὶ τὸ ὄνομα· Δάφνη δὲ ἡ κόρη ἐλέγετο· καὶ Ἀπόλλων ἰδὼν αὐτὴν μεταβληθεῖσαν εἰς τὸ φυτόν, ἐξ αὐτοῦ τοῦ φυτοῦ ἐστέψατο. λέγει δέ· ἢ ἀπὸ δάφνης, κατὰ κοινοῦ, πόσιν δίδου, τουτέστι δαφνέλαιον δίδου πιεῖν.

201. *ἢ πέπερι κνίδης*· κνίδην λέγει τὴν ἀκαλήφην· εἴ-

1 *στεινὴν* (*στενὴ* P) *ἐμ. οἶμον* R P | 2 *σώματος* G[1] (sed corr. G[2]) P | 3-4 G[2] R P | 4 *ἢ* R P, *αἱ* G[2], *αἳ* correxisse adfirmat *Schneiderum Vári*, sed *ἢ αἱ* habet *Schn.*; equidem malim *καὶ* | 5-9 G[2] R P, habet G[1] sch. epitom. | 8 *φίλου* R *ἀτιχθείς* R | 9 *ἀέρα* R | 11 *ὁ δὲ* — 15 G[2] R P quorum loco G[1] *τὸ γὰρ ἑκάστῳ ἐπιβάλλων* (*διὸ καὶ κάτω ἐ. Vári*) *ἢ κατηβολέων κάτω βαδίζων*, quae induxit G[2] | 12-13 *ὁρῶν καταπίπτει* R, *ὁρῶν καταπίπτων* P, *ὁρῶν καταπιπτόντα* vulgo, *ὁρῶν καὶ κ.* praebet G[2], ut videtur quaedam ad v. 195 praebet G[2] ex *Eutecn.* 237a 21-26 | 14 *τεῦχος* om. R *παρασκεύαζε* R P | 15 *παραπέμψαις* con. *Keil.* | 19-24 ordinem codicum R P secutus sum; *ἢ πρώτη φοίβοιο· ὡς τῆς κόρης διωκομένης ὑπὸ τοῦ ἀπόλλωνος καὶ μεταβληθείσης εἰς τοῦτο τὸ φυτὸν ἐξ ἧς ἔχει τὸ ὄνομα. δάφνη δὲ ἡ κόρη ἐλέγετο· καὶ ὅτι ὁ ἀπόλλων κτέ.* G[1] | 25-348, 4 R P. exstat in G[1] ad h. v. scholium epitomatum ac pessime involutum.

ρηται δὲ ἀμφότερα διὰ τὸ κάλφεσθαι καὶ κνήθεσθαι· ἔστι δὲ καὶ θαλάσσιον ζῷον ἀκαλήφη λεγόμενον. φησὶ γοῦν ὅτι καὶ κνίδης σπέρμα σὺν πεπέρει λεάνας διὰ τὸ σφόδρα θερμαντικὸν δίδου χρῆσθαι.

5 202. ἐμπενκέι ⟨ὀπῷ G[1]⟩· χράνας ⟨δὲ τὸ νέκταρ G[1]⟩, ἀντὶ τοῦ μίξας τῷ πικρῷ ποτῷ, λέγει δὲ τῷ Κυρηναϊκῷ.

203. ἰρινέου· τὸ ἀπὸ τῆς ἴριδος βοτάνης γινόμενον ἔλαιον· ἴρινον δὲ μύρον λέγει· αὕτη ἡ βοτάνη εὔπνους ἐστί· παραλέλοιπε δὲ τῆς πόσεως τὴν ποσότητα. κελεύει δὲ καὶ σιλφίου
10 ῥίζαν τρυφθέντα μετὰ λευκοῦ ἐλαίου παρέχειν πιεῖν. τὸ δὲ σίλφιον καὶ ῥιζεῖον Κυρηναϊκὸν καλοῦσί τινες, ἐξ οὗ γίνεται ὀπός. νῦν δὲ περὶ τοῦ ῥιζείου φησί.

205. μελιζώρου· ἀντὶ τοῦ μελικράτου. καὶ γάλακτος δὲ τὸ ἀφρῶδες, τουτέστι τὸ ἐπιπόλαιον καὶ πεπηγὸς ὡς ἀφρός,
15 νέμε ἐπὶ πυρὸς θάλψας, ⟨ὅ ἐστι θερμάνας R P⟩, τὸ τεῦχος ἠρέμα.

207. καί κεν λοιγήεντι· ἡ σύνταξις οὕτως· καὶ τὸ ἐπὶ τῷ λοιγήεντι τοξικῷ ἄχθος ἀπαμύνοις καὶ ἀποδιώξαις. παρασχεδόν· ἀντὶ τοῦ παραχρῆμα· λείπει δὲ τὸ οὕτως, ἵν᾽ ᾖ· οὕτως
20 ἀμύνοις καὶ διώξαις. τοξικὸν δὲ καλεῖται ⟨τὸ τοιοῦτον φάρμακον R P⟩ διὰ τὸ ὁμοίως τοῖς τοξεύμασιν ἀναιρεῖν παραχρῆμα βρωθὲν ἢ ποθέν. ἢ ἐπεὶ οἱ Πάρθοι καὶ Σκύθαι τοξεύοντες τούτῳ παραχρίουσι τὰς τῶν βελῶν ἀκίδας· οὐ γάρ, ὥς τινες, τὸ κώνειον νομιστέον. λέγεται ὑπό τινων καὶ Σκυθικόν· ἄλλοι
25 δὲ λέγουσιν ὅτι ἐκ τοῦ αἵματος τῆς ὕδρας ἀνεφύη, τὴν δὲ ὕδραν τόξοις ἀνεῖλεν ὁ Ἡρακλῆς, καὶ διὰ τοῦτο τοξικὸν καλεῖται.

1 δὲ καὶ ἀμφ. R P, καὶ omisi cum G[1] | 2 ζῷον] ὄρνεον R P, ζῷον recepi ex G[1]: post ζῷον add. G[1] τὸ καλούμενον καλαμάριον | 6 ποτῷ] ὀπῷ con. *IGSchn.* | 7-12 dedi ex G[2] (inde a αὕτη ἡ βοτάνη) R P; sch. epitom. exstat in G[1] | 8-9 παρέλειπε P δόσεως G[2] | 10 τρυφθέντα R, τρίχαντα P, τρίψαντα vulgo | 11 ῥίζειον R, ῥιζίον P | 12 ῥιζίου P | 14 ἐπιπολάζον conicit *IGSchn.*: malim τὸ ἐπιπολῆς πεπηγός cum L. ἀφρόος R | 15 verba ὅ ἐστι θ., quae exhibent R P post ἠρέμα, inserui ante τὸ τεῦχος, post ἠρέμα habet G[1] τουτέστιν ἵνα χλιάσῃς αὐτό | 18 ἐπαμύνοις R P, ἀμύνοις G[1], ἀπαμύνοις *Vari* ἀποδιώξοις (-ξεις P) et postea διώξοις codd., corr. *IGSchn.* | 22 ποθὲν ἢ βρωθὲν P | 22-24 ἢ ἐπεὶ — νομιστέον] οἱ δὲ διὰ τὸ χρίεσθαι δι᾽ αὐτὸ τὰς ἀκίδας G[1], om. G[2] | 24 post νομιστέον inserunt R P ἢ διότι τὸ ὁμοίως τόξου ἀφέσει ἀναιρεῖ βρωθὲν ἢ ποθέν, quae omisi. cf. *Animadv.* σκυνθικόν G[2].

208. *εὖτ' ἀχέεσσι* ⟨*βαρύνηται* R P⟩· *ἡνίκ' ἂν πιών τις βαρύνηται ὑπὸ τῶν ὀδυνῶν.*

209. *παχύνεται*· *οἰδαίνεται, φυσᾶται.*

210. *οἰδαλέα*· *διφδηκότα καὶ ἐξογκούμενα.*

211. *ξηρὰ δ' ἀναπτύει*· *ἐπειδὴ ξηραίνει τὸ δηλητήριον*· *τὰ δὲ οὖλα τῶν ὀδόντων ἐκ βάθρων ῥήγνυνται.*

213. *ἔμπληκτον*· *μανιῶδες. μεμόρηκεν*· *ἐκάκωσε, παρὰ τὴν μοῖραν.*

214. *μηκάζει*· *ἀντὶ τοῦ μηκᾶται ὡς πρόβατον, οἱονεὶ οὕτως βοᾷ καὶ κράζει.* ⟨*φλύζων* G^1⟩· *φλυαρῶν ὑπὸ τῆς μανίας. καὶ οἱ Ἰταλιῶται τοὺς φλυαρογραφοῦντας φλυζογράφους ἐκάλουν.*

215. *δηθάκι δ' ἀχθόμενος*· *συνεχῶς δέ, φησί,* ⟨*ἀχθόμενος* G^1⟩ *βοᾷ ἐμπελάδην, οἱονεὶ ἐμπελαστικῶς καὶ ὁρμητικῶς, ὁποῖά τις φώς, ἤγουν ἀνήρ, τὴν ἀμφιβρότην κώδειαν* ⟨*ἀπαμηθεὶς, ἤτοι* G^1⟩ *ἀποτμηθεὶς τοῖς ξίφεσι*· *τοῦτο γὰρ τὸ ἀμηθείς.*

216. *κώδειαν δὲ νῦν* ⟨*τὴν* G^1⟩ *κεφαλήν. ἀμφιβρότην δὲ τὴν ὅλον τὸν ἄνδρα συνέχουσαν κεφαλήν*· *ἡ γὰρ κεφαλὴ συνέχει πᾶν τὸ σῶμα. καὶ Ὅμηρος δὲ κώδειάν φησι τὴν κεφαλὴν* ⟨Ξ 499⟩·

ὁ δὲ φὴ κώδειαν ἀνασχών.

ἄλλως· *καὶ γάρ φησιν ἐνίοτε πλησιάζοντος αὐτῷ ἀνθρώπου τινός, μισανθρωπίαν νοσῶν καὶ βαρούμενος προΐεται φωνὴν ὡς ἀποκεφαλιζόμενος. τοῦτο δὲ εἶπε πλανηθεὶς ἐκ τοῦ ποιητοῦ καὶ κακῶς νοήσας τὸ* ⟨*K* 457⟩·

φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.

217. *κερνοφόρος*· *ἡ τοὺς κρατῆρας φέρουσα ἱέρεια*· *κέρνους γάρ φασι τοὺς μυστικοὺς κρατῆρας, ἐφ' ὧν λύχνους τιθέασι. ζάκορος δὲ ἡ νεωκόρος καὶ βωμίστρια ἡ ἱέρεια τῆς κρατηροφόρου Ῥέας.*

2 *βαρύνεται* R P *ἀνιῶν* G^1 | 3-8 dedi ex G^2 R P. cf. *Animadv.* | 4 *ἐξωγκωμένα* R P | 6 *ῥήγνυται* P | 7 *μανικόν, ἤτοι μανιῶδες* G^2 *παρὰ* G^2, *περὶ* R P | 11 *ἰτ. φλυζογρ. ἐκάλουν τοὺς φλυαρ.* G^1 | 15 *ἀχθόμενος ὁποῖα* R P | 16 *τοῖς ξίφεσι*] *ξίφει* R P *ἀμηθείς* R, *ἀπαμηθείς* G^1 P | 17 ad *ἀμφιβρότην* haec adn. mg. m. rec. R: *ἴσως τὴν στρογγύλην* | 19 *τὸ πᾶν σῶμα* G^1 | 21 *ὁ δ' ἔφη* R P *δέ φη* G^1 | 22-24 usque ad *ἀποκεφαλιζόμενος* dedi ex G^2 R P, habet G^1 sch. epitom. | 23 *μιξανθρωπίαν* G^2 | 26 *κάρη — ἐμίχθη*] *κακὰ* R P | 29 *ζάκορος δὲ ἡ νεωκόρος* G^2 R P | 30 *κρατηροφόρου* codd., *ἡ ἱέρεια ἡ κρατηροφόρος τῆς Ῥέας* coni. *Keil.* probabiliter.

218. *εἰνάδι* δὲ ἀντὶ τοῦ τῇ ἐνάτῃ τοῦ μηνός, ἤγουν τῆς σελήνης· τότε γὰρ κατὰ τὴν σελήνην ἐμέτρουν τὸν ἐνιαυτόν· τῇ γὰρ ἐνάτῃ τοῦ μηνὸς τὰ μυστήρια αὐτῆς ἐπιτελοῦσι.

220. *Ἰδαίης*· τῆς ὀρεινῆς· Ἴδη γὰρ καταχρηστικῶς πᾶν
5 ὄρος καλεῖται. ⟨οἱ δὲ G¹⟩ *τρέουσι*· ἤγουν οἱ Κορύβαντες ἢ οἱ παρατυχόντες φοβοῦνται ὅτε τῆς Ἰδαίης τὸν ῥιγηλὸν ὑλαγμὸν εἰσαΐωσιν.

221. *βρυχανάαται*· γράφεται καὶ βραυκανάαται· βρυχᾶται, κλαυθμυρίζει, ὡς παιδίον φωνεῖ, ἢ δακρύει, ὡς Μέναν-
10 δρος ⟨fgm. 1004 *K*⟩.

222. *ὠρυδὸν* δὲ ἀντὶ τοῦ μετὰ ὠρυγῆς, ὡς λύκος ὠρυόμενος. καὶ *ταυρώδεα λεύσσων* ἀντὶ τοῦ καθάπερ ταῦρος.

224. *τὸν μὲν καὶ δεσμοῖσιν*· διὰ μὲν τὸ ἀστατεῖν αὐτὸν δήσας, φησί, προσένεγκε αὐτῷ βοηθήματα καὶ μὴ καταδε-
15 χομένῳ μηδὲ θέλοντι κατ' ὀλίγον οἶνον διδοὺς κόρεσον καὶ μεθυσθῆναι ποίησον· ἀνενοχλήτως δὲ βιαζόμενος τῇ σῇ χειρί, ἄνοιγε τὸ μεμυκὸς αὐτοῦ στόμα, ἕως οὗ ἐμέσῃ· καὶ μετὰ τὸν τοῦ γλυκέος ἔμετον πότισον αὐτὸν ζωμὸν πολὺν χήνειον προσφέρων αὐτῷ, καὶ τῶν ἐαρινῶν ἀγρίων ἢ ἡμέρων μήλων τὰς
20 σάρκας, ῥίψας τὸ δέρμα αὐτῶν· ἐὰν δὲ μὴ παρῶσι ταῦτα, τῶν λεγομένων στρουθομήλων ὁλοσχερῶς ἐμφόρησον αὐτόν.

225. *νέκταρι θωρήξαιο*· τουτέστι τὸν θώρακα πλήρωσον, ἤγουν χόρτασον αὐτὸν οἴνῳ γλυκεῖ, καὶ μὴ χρήζοντα ἠρέμα βιαζόμενος, καὶ μὴ κακώσῃς αὐτόν.

25 226. *βρυκόν*· μεμυκός· συνερείδει γὰρ τοὺς ὀδόντας· τὸ βρυκὸν αὐτοῦ στόμα, φησίν, ἤγουν τὸ συνδεθὲν καὶ σφιγχθέν, ὄχλισον, οἱονεὶ ἄνοιξον ὡς ἂν τὴν λώβην ἐμέσῃ, δαμαζόμενος καὶ νικώμενος διὰ τοῦ ποτίζειν αὐτόν τῇ χειρί σου.

1-2 usque ad *σελήνης* G¹ | 2-3 verba *τότε — ἐνιαυτόν* praebent post *ἐπιτελοῦσι* R P, his insuper additis: *ἢ εἰκάδι τῇ ἐνάτῃ τῆς σελήνης*. cf. *Animadv.* | 5 *τρύουσι* P | 8 *βραυκ. γρ. καὶ βρυχ.* R P, *γρ. καὶ βρ.* om. G¹ | 11-12 om. G¹ *ὠρυγῆς* *IGSchn.*, *ὀργῆς* G², *φυγῆς* R P *ὡς λύκος* om. R | 13-21 om. G¹ | 13 *ἀστατῆ* R | 14 *δόσας* P | 15 *μηδὲ*] *καὶ μὴ* R P | 16 *ἀνενοχλήτως*] *ἡσύχως* G² | 20 *αὐτῶν τὸ δέρμα* R | 22 *νέκταρι* om. G¹ | 23 *χρήζοντι* R | 25-28 sch. epitom. est in G¹, quod expl. G² | 25 *τὸ μεμυκὸς* (in eras. a G²) *στόμα* G¹ | 25-26 *τὸν βρ.* P, *τὸν κρυκὸν* R *αὐτοῦ — ἤγουν* om. G¹ | 27 *ὡς ἂν* et *ἐμέσῃ* om. G¹, praemisso lemmate *ὄφρ' ἂν ὑπεξερύγῃσι* | 28 *τῇ χειρί σου* praebet G¹ post *νικώμενος*.

229. *πυρὸς μεμορημένον·* ἀντὶ τοῦ δεδασμένον καὶ ἑψηθέντα τῷ πυρί.

230. *μηλείης·* τῆς μηλέας τὰ κάρφη, ἤγουν τὰ δέρματα ⟨ἢ ἄνθη G¹⟩· *ῥιγχώδεος* γράφεται καὶ τριχώδεος, ἀμφότερα κατὰ τοῦ αὐτοῦ σημαινομένου, τῆς τραχείας. 5

231. ⟨*ἀπὸ σίνεα* G¹⟩· τὰς σινωτικὰς ἀκάνθας ἀποβαλών, ἢ μᾶλλον τὰ δέρματα τῶν μήλων λεπίσας.

232. *κλήροισιν ἐπήβολα·* ἤγουν μέτοχα τοῖς ἡμέροις χωρίοις, τουτέστι τὰ τοῖς ἡμῶν κλήροις, ἤγουν κήποις, ἐπιβάλλοντα, οἱονεὶ τὰ ἥμερα. 10

233. *ἐνεψιήματα* δὲ τὰ παίγνια· παίζουσι γὰρ αἱ κόραι καὶ τέρπονται τοῖς μήλοις.

234. καὶ τὰ *στρουθεῖα* δὲ γένη μήλων, οἱ δέ φασιν εἶδος βοτάνης. *βλοσυροῖο* ⟨*Κυδῶνος* R P⟩, τοῦ στυπτικοῦ Κυδωνίου. ὃ μάλιστα ἐν Κρήτῃ φύεται. 15

235. *ἐκόμισαν* δὲ *ἄναυροι·* τουτέστιν ἔθρεψαν αἱ ὄχθαι τῶν ποταμῶν τὰ Κυδώνια.

236. *ἅλις* δὲ ἀντὶ τοῦ ἱκανῶς. καὶ *ἀολλέα*, ἤγουν ὁμοῦ κόψας.

237. *ὀσμήρεα γληχώ·* ὀσμὴν ἔχουσαν, εὐώδη. 20

239. *ῥοδέοις* δὲ τοῖς ῥόδοις, ἢ ῥοδίνου ἐλαίου. καὶ θυόεν *μαλλοῖσιν ἀφύσσων* ἀντὶ τοῦ θυόεν ἐν τοῖς ῥόδοις ἔλαιον, ἤτοι τὸ ῥόδινον, στάζε μετὰ ἐρίου εἰς τὸ στόμα αὐτοῦ.

241. *ἰρινέου* δὲ τοῦ ἀπὸ ἴριδος γινομένου μύρου.

242. καὶ *ἀκροσφαλὲς* τὸ ἄκρως σφαλερόν. 25

244. *Γερραῖοι·* ἔθνος Ἀραβίας, ἀπὸ Γέρρας μιᾶς αὐτῶν πόλεως, νομάδες δέ, νομάδα βίον ἔχοντες. τούτῳ φησὶ τῷ το-

1 *μεμορηγμένον* P *δεδαμασμένον* G¹ | 3 lemma in R *μηλείας*, in P *μειλίας* | 4 *ῥηχ.* om. P, qui postea *γρ. δὲ καὶ ῥηχ. τὸ τρηχ.* | 5 *περὶ κατὰ* R P *τῆς*] *ἤγουν* G¹ | 6 *ἀποσίνεα* G¹ corr. *Vári* post lemma *τὰ δέρματα ἢ ἄνθη* G¹ *ἐκβάλλων* G¹ | 7 post *λεπίσας* R P *ἔσθιε*, nihil habet G¹, sed G² add. *πάρεξον* | 8 *ἢ ἔτι κλήρ. ἐπ.* est lemma in R P *ἡμετέροις* R P | 9 *τὰ*] *καὶ* G¹ | 10 *ἡμέτερα* R P | 11 *ἐν ἑψέματι* lemma est in P | 13 *γένη*] *εἴδη* G¹ *φασιν* om. G¹ *εἶδος βοτ.*] *εἴδη βοτανῶν* G¹, qui post *βοτανῶν* add. *τὸ δὲ κυδώνιόν φησι μῆλον* | 15 *ἐν τῇ κρ.* G¹ | 21-23 pro hoc sch. habet G¹ sch. epitom. | 22 *παῦρα λίπος* add. in lemmate R P post *ἀφύσσων* | 23 *ῥόδιον* R | 24-25 om. G¹ | 26-27 *ἀπὸ — πόλεως* om. G¹.

ξικῷ φαρμάκῳ οἱ ἐν Γέρρᾳ τῆς Ἀραβίας καὶ οἱ περὶ τὸν Εὐφράτην πρὸς τὰς αἰχμὰς αὐτῶν χραίνουσιν, ὅ ἐστι βάπτουσιν. οἱ Γερραῖοι τῷ τοιούτῳ φαρμάκῳ βουλόμενοι χρῆσθαι καὶ τοὺς αὐτὸ προσενεγκαμένους τοῖς εἰρημένοις βοηθήμασιν ἰᾶσθαι, οὕτω δοκιμάζουσι τὰ ἀλεξιφάρμακα· μέρος τοῦ ἑαυτῶν ποδὸς χαράξαντες αἷμα ἀφιᾶσι καὶ εὐθὺς προσάπτουσι τὸ φάρμακον· ὅταν δὲ τὸ φάρμακον διὰ τοῦ αἵματος ἀναδράμῃ τάχιον, τοῖς βοηθήμασι τούτοις καθαίρουσιν αὐτὸ πρὶν ἐμπεσεῖν τὸν ἰὸν εἰς τὴν καρδίαν.

248. *ἔρφος δὲ τὸ δέρμα, ὅπερ οἱ Ἴωνες στέρφος λέγουσι· διὸ καὶ στερφῶσαι λέγομεν ἐν τῇ συνηθείᾳ.*

249. *ἦν δὲ τὸ Μηδείης· τὸ ἐφήμερον σκευαστικόν ἐστι φάρμακον, ⟨ὃ καλεῖται Κολχικόν* G^1*⟩, ὃ καὶ οἱ βάρβαροι νάφθαν καλοῦσιν, ᾧ οἱ χριόμενοι ἢ ἱμάτιον ἀληλειμμένον ὑπ᾽ αὐτοῦ φοροῦντες ἢ ἄλλο τι, ἐὰν ἔναντι ἡλίου στῶσιν, ὡς ὑπὸ πυρὸς κατεσθίονται δαπανώμενοι· ἔστι γὰρ καυστικόν. δοκεῖ δὲ ἡ Μήδεια τὴν κατασκευὴν αὐτοῦ εὑρηκέναι, διὸ καὶ Κολχικὸν λέγεται. οἱ δὲ ἶριν αὐτὸ προσαγορεύουσιν, ἄλλοι Φαρικόν, ἕτεροι ἐφήμερον διὰ τὸ ἕωθεν ἀναδίδοσθαι κατὰ τὸν Ὕπανιν ποταμὸν ἢ τὴν Κολχίδα, τῇ δὲ μεσημβρίᾳ τελειοῦσθαι, πρὸς ἑσπέραν δὲ αὐαίνεσθαι, ἢ διὰ τὸ ἡμέραν ὅλην μὴ δύνασθαι ἐξαρκεῖν τοὺς πιόντας αὐτό· τοῦτο οὖν τὸ ἐφήμερον ἐν μὲν τῇ γεύσει εὐθὺς τὰ ἔσω τῶν χείλεων κινεῖ πρὸς κνησμὸν ὡς ἀπὸ γάλακτος συκῆς ἢ σκίλλης ἢ κνίδης, ἐν δὲ τῇ καταπόσει ἐσθίον τὸν στόμαχον καὶ δηγμοὺς ἱκανοὺς παρέχον βάρος εἰς αὐτὸν ἐνίησιν· ἔπειτα σφοδρῶς αὐτὸν καταξέσας ἑλκοῖ τοσοῦτον ὥστε ποτὲ μὲν ἐμεῖν ὅμοιον πλύματι κρεῶν θολερῶν,*

1 *φαρμάκῳ οἱ* om. G^1, *ἤγουν φαρμάκῳ οἱ* suppl. G^2 | 2 *πρὸς* om. G^1 *αὐτῶν* codd. | 3-9 pro *οἱ Γερραῖοι — καρδίαν*, quae dedi ex R P, scholium exhibet G^1 epitomatum, praemisso vocabulo *ἄλλως* et lemmate *τῷ μέν*
βουλόμενοι om. R | 4 *αὐτὸ προσ. IGSchn.*, *ἀποπροσενεγκαμένους* R P | 5 *τὰ ἀλεξιφάρμακα*] *αὐτὸ* G^1 in scholio epitom., quod recepit *IGSchn.*: fortasse scribendum est *τὸ ἀλεξιφάρμακον* | 7 *τὸ φάρμακον IGSchn.*, *ἀπὸ τοῦ φαρμάκου* codd., num *αὐτὸ τὸ φάρμακον*? | 9 *ἐν τῇ καρδίᾳ* codd., corr. *IGSchn.* | 10 et 11 *τέρφος* et *τερφῶσαι* G^1 | 12 Sch. ad v. 249 dedi ex G^2 R P; quaedam epitomata praebet G^1 *ἤτοι*, quod ante *τὸ ἐφήμερον* praebent codd., omisi | 13 *καὶ οἱ* om. G^1 | 14 *ᾧ* dedi ex con. *Bentl.*, *ὃ* codd. | 19 *ὕπανιν*] *τάναιν* R P | 20-21 *τελειοῦται* et *αὐαίνεται* P | 25 *παρέχων* R | 26 *ἔπειτα* — 353-11 R P.

ποτὲ δὲ καὶ κόπρον προϊέναι. βοηθεῖ δὲ τοῖς πεπωκόσι τὸ φάρμακον γάλα ποθέν, ἐναποβεβρεγμένων εἰς αὐτὸ δρυὸς φύλλων, ἢ γάλακτος βοείου προσαγωγή, τοῦ μὲν πινομένου εἰς κόρον θερμοῦ, τοῦ δὲ ἐν τῷ στόματι τηρουμένου. βοηθεῖ δὲ καὶ ὁ βλαστὸς τοῦ πολυγόνου, ἢ καὶ ἡ ῥίζα κατακοπεῖσα καὶ ἐν γάλακτι ἑψηθεῖσα ἢ ἐν ἀποβρέγματι μήλων ἢ κυδωνίων, ἢ στυπτικῶν μύρτων, ἢ ἑλίκων ἀμπέλου, ἢ βάτου κλάδων, καὶ τοῦ ἑρπύλλου τὰ φύλλα ἑψηθέντα ἐν ἀποβρέγματι τῶν ἐντοσθίων τοῦ νάρθηκος, ἢ σαρδιανῶν βαλάνων καὶ ποθέντα· βοηθεῖ καὶ ἡ ἐντεριώνη τοῦ νάρθηκος τετριμμένη ποθεῖσα· βοηθεῖ δὲ καὶ ἡ ὀρίγανος λειανθεῖσα.

252. νιφόεντι· λευκῷ, οἷα τῷ ὀπῷ τῆς συκῆς.

253. σπειρώδει· τῇ πολλὰ σπεῖρα, ἤγουν ἐνδύματα, ἐχούσῃ, ἢ σπερματώδει, ἢ πολλαῖς περιβολαῖς περικαλυπτομένη. αὕτη γὰρ ἡ βοτάνη ἐν τῇ κεφαλῇ τὸ σπέρμα ἔχει.

254. νέην φοινίξατο ⟨σάρκα RP⟩· ἤγουν τὴν ἁπαλὴν σάρκα ἐπυράκτωσεν.

255. ἐπισχομένοιο δέ, καταποθέντος.

256. ἀνερεπτόμενον· ἤγουν ἀνερευγόμενον τῇ περιτρίψει. συρμῷ δέ, τῇ ζέσει καὶ τῇ ὀλεθρίᾳ καύσει τὸν στόμαχον ἑλκωθέντα.

257. κακὸν δ' ἀποήρυγε δειρῆς· ἀπήμεσε δὲ ὥσπερ θολερὸν πλύμα ἀπὸ κρεῶν ὁ μάγειρος ἐκχέει, τοιοῦτόν φησι ῥυπαρὸν καὶ ὄζον.

259. σὺν δέ τε καὶ νηδύς· συναποβάλλει δὲ καὶ ἡ νηδὺς μεμιασμένα ἀποπατήματα, ἤτοι ἀφρώδη.

260. ἀλλὰ σὺ πολλάκι· πολλάκις μὲν καὶ τῆς φηγοῦ, φησί, τὴν χαίτην βάλλοις ὁμοῦ τοῖς ἀκύλοις, τουτέστι τῷ καρπῷ. οὐλάδα δὲ τὴν ὑγιαστικήν ⟨ω 402⟩·

οὖλέ τε καὶ μέγα χαῖρε.

2 ἐναποβεβρεγμένον P post φύλλων codicum glossam ποιοῦσι (πιοῦσι R) καὶ τὰς περὶ τὴν κεφαλὴν θάλψεις omisi | 3 προσαγωγή *Bentl.*, προσαγωγῇ P, προσαγωγῆς R | 4 τηρημένου R | 7 τοῦ] τῆς codd., corr. *Ald.* | 9 καὶ ποθέντα βοηθεῖ· codd., correxit *Bentl.* | 12 ὀπῷ] λευκῷ P | 13-14 verba τῇ — ἐχούσῃ habent RP post ἔχει (15) | 14 περιβολαῖς om. G[1] add. G[2] καλυπτομένη RP verba αὕτη — ἔχει (15) RP | 18 om. G[1] καταποθέντα P | 19 ἀνερεπτομένως P ἐρευγόμενος G[1] | 22 ἀπέρυγε et ἀπήμυσε P | 25 lemma habet tantum G[1] | 27 πολλάκις μὲν et τῆς om. R, φησί habet G[1] ante καὶ τῆς | 27 βάλοις RP ἀκύλλαις] ἀκύλοις corr. G[1] τῶν καρπῶν R, τοῖς καρποῖς P | 30 μέγα] μάλα RP.

261. *πολλάκι καὶ φηγοῖο·* ἤγουν σὺν αὐταῖς ταῖς βαλάνοις· διαφέρειν γάρ φασι δρῦν καὶ φηγόν· εἰ μή που φηγὸν τὴν πρῖνον εἶπεν· ἄλλη γὰρ δρῦς καὶ ἄλλη φηγός καὶ ἄλλη πρῖνος, τὰ δὲ τρία δρύες καλοῦνται.

5 263. *αὐτὰρ ὃ τοῦ κορέοιτο·* οὗτος δὲ ὁ φαρμαχθεὶς τούτου κορεσθείη καὶ ἐν τῷ στόματι κατάσχοι.

264. *τὸ δὲ πολύγονον* βοτάνη ἐστὶν ἐν τῷ πίνεσθαι ἐντατική· ἢ τὰ ῥιζεῖα τοῦ πολυγόνου γάλακτι ἑψηθέντα καὶ κατατριβέντα βοηθεῖ.

10 265. *τὸ δὲ ἀμπελόεις,* ἀμπελόεσσας· ὁ τρόπος μετάληψις, ἄλλοι δὲ αἰτιατικὴν πληθυντικῶν φασιν εἶναι, ὁμόφωνον τῇ εὐθείᾳ· αἱ ἀμπελόεις γάρ ἐστιν ὡς τὰς πανηγύρεις αἱ πανηγύρεις.

267. *ἴσως καὶ βατόεντα·* ὁμοίως καὶ τοὺς κλάδους τῆς βάτου· εἴρηται δὲ βάτος διὰ τὸ ἄβατος εἶναι.

15 268. *νέα δὲ τέρφη·* ἀντὶ τοῦ χλωρὰ λέπη καστάνου τοῦ εὖ τρέφειν δυναμένου.

269. *δασυφλοίοιο* εἶπε, διότι χνοώδης ὁ ἐντός ἐστι φλοῦς, ἢ τὸ δασὺ πρὸς τὸ στρυφνὸν τοῦ λέπους ἔφη. γράφεται δὲ καὶ *λαχυφλοίοιο,* ἤτοι ἐλάχιστον φλοιὸν ἔχοντος.

20 270. *νείαιραν δὲ σάρκα* τὴν ἐσωτάτω λέγει, ἀμφοτέρους γὰρ τοὺς φλοιοὺς ἀφελέσθαι κελεύει. νείαιραν οὖν τὸν ἐνδότερον περὶ τὴν σάρκα ὑμένα, τὸν στύφοντα λέγει. *σκύλος* τὸ δέρμα ἤτοι τὸ ἔνδυμα, ὅθεν καὶ τὸ σκυλεύω· νῦν δὲ τὸ μαῦρον καὶ ξηρὸν λέγει ἔνδυμα. γυμνώσειας δὲ σὺ τοῦ καλῶς τε-
25 θραμμένου καρύου, ἢ τοῦ καλῶς τρέφοντος, τοῦ καστάνου, τὰ νέα τέρφη τοῦ δασυφλοίου. *τὸ δὲ κάλυμμα·* ὅπερ κατὰ τὴν νείαιράν ἐστι σάρκα περὶ τὸ σκύλος ἤγουν περὶ τὸ δέρμα καὶ

2 *διαφέρειν — φηγόν* G^2 R P *φασι* pro *φησι*, quod est in codd., scripsi ex con. *IGSchn.* *τὴν*] *τὸν* G^1 (sed *τὴν* corr. G^2) R P | 3 *ἄλλο — ἄλλο — ἄλλο* R P | 3-4 *πρῖνος*] *δρῦς* P *δρύες*] *δρῦς* P | 7 *πουλύγονον* R | 8 *ῥιζία* R P | 10-12 dedi ex G^1 (usque ad *μετάληψις*) et G^2; vulgo erat: *τὸ δὲ ἀμπελόεις αἰτιατική ἐστι πληθυντική, ὁμοφωνεῖ τῇ εὐθείᾳ κτέ* (sed P in fine: *αἱ παν. τὰς παν.*) | 13 *τῆς*] *τοῦ* R P | 14 *ἄβατον* G^1 *εἴρ. δὲ διὰ τοῦ ἄ. εἶναι β.* P | 15-16 *καστανοῦ* post *δυναμένου* G^1 | 17-19 G^2 R P | 17 *χλοώδης* R | 19 *χαλυφλοίοιο* R P *ἔχοντα* R P | 20-22 usque ad *λέγει* om. G^1 | 20 *νείεραν* G^2, *νείαιρα* P *ἀμφότερα* P | 21 *ἀφελεῖσθαι* R, *ἀφελεῖν* P | 21-22 *ἐνδοτέρω* P | 22-23 *τὸ δ. ἤτοι* om. G^1 | 23-24 verba *ὅθεν — ἔνδυμα* om. R propter homoeoteleuton | 24 *σὺ δὲ* P | 25 *καστηνοῦ* G^1 | 26 *τρέφη* R *ὅπερ κάλυμμα* G^1 | 27 *δέρμα*

ἔνδυμα, τὸ μέλαν, τουτέστι τὸ μετὰ τὴν ἄκανθαν· ἐκεῖνο, φησί, ἐψήσας δίδου πιεῖν, οἱονεὶ τὸ στῦφον.

271. *Κασταν ὶς πόλις Θεσσαλίας, ὅθεν τὰ καστάνια, ἀπὸ τῆς Καστανίδος γῆς, ἢ Κασταν ὶς πόλις Ποντική, ὅπου πλεονάζει τὸ κάστανον. Κασταν έα ὄρος Θεσσαλίας, ἐξ οὗ τὰ κάστανα.* 5 *τῶν δὲ καστάνων τὸ μὲν Σαρδιανόν, τὸ δὲ λόπιμον, τὸ δὲ μαλακόν, τὸ δὲ γυμνόλοπον.*

273. *ὅς τε Προμηθείοιο· ὅστις νάρθηξ ἀνεδέξατο τὴν κλοπήν, τουτέστι τὸ πῦρ, τῆς φωρῆς, τουτέστι τῆς κλοπῆς, τῆς ἑστιώσης, ἤτοι τοῦ κλέπτου Προμηθέως. κλοπὴν γὰρ λέγει* 10 *αὐτὸ τὸ πῦρ.*

274. *φιλόζωον δέ, λέγει τὸ ἕρπυλλον, διότι ἀεὶ ἀνθεῖ καὶ οὐδέποτε φυλλορροεῖ.*

275. *εὐφίμου δέ, τοῦ φιμοῦντος τῇ στύψει, ἤτοι τοῦ στυπτικοῦ.* 15

279. *ἰξιόεν· τὸ τοῦ ἰξίου δηλητήριον. ἰξίας καὶ βούπρηστις σιλφίων γένη μελαινῶν· πινόμενα δὲ κατέχει τὴν τροφὴν ὡς ἰξός.*

280. *οὐλοφόνον δέ, τὰ οὖλα βλάπτον, ἢ ὅλον φονευτικόν. ὠκιμοειδές δέ, ὅπερ μάλιστα ὡς ὤκιμον ὄζει. ὤκιμον δέ* 20 *ἐστιν εἶδος βοτάνης παραπλήσιον ἡδυόσμῳ, ἀλλ' οὐ δασύ ἐστιν.*

282. *ἐμπλάζεται δὲ ἦτορ· ἀντὶ τοῦ παραφέρεται τῇ διανοίᾳ, ἤτοι ταράσσεται καὶ ἔμπληκτος γίνεται.*

283. *λυσσηθείς, ἀντὶ τοῦ μανείς, κατατρώγει τὴν γλῶσσαν αὐτοῦ.* 25

ἰξίας γένος ἐστὶ τῆς σίλφης, ἔστι δὲ τῇ χροιᾷ μέλαν, τῇ δὲ ὀσμῇ ἐν τῇ πόσει ὅμοιον ὠκίμου σπέρματι, ἤτοι βασιλικοῦ πνοὴν ἔχον· ποθὲν δὲ τὸ φάρμακον τοῦτο τὴν μὲν γλῶσσαν

καὶ omm. R P | 2 *στίφον* P, *στύφον* R, corr. *Keil* | 4 *πόλις πόντου* G¹ | 5 verba *καστανέα — κάστανα* exhibet tantum G², in quo *θεσσαλίας* incertissima lectio est | 6 *τῶν*] *τὴν* P | 6 *λώπιμον* R P | 7 *γυμωλικόν* codd., corr. *C. Hoffmann* | 8-10 usque ad *προμηθέως* dedi ex G² (v. *Animadv.*), quae secuntur ex R P | 11 *αὐτὸ* codex *Lorrianus*, apud *IGSchn.*, *αὐτοῦ* R P | 12-15 G² R P | 13 *φυλλοροεῖ* R G² | 14 *ἀφίμου* R (sed corr. *εὐφ.*) P | 16 *ἰξίοῦ* G¹ (sic), *ἰξοῦ* R P *ἰξία* G¹ (*ἰξιὰς* corr. G²) R P; *ἰξίας* scripsi | 19-20 usque ad *φονευτικόν* G² R P *οὔλη* P | 21 *ἀλλ' οὐ δὲ* R P | 22 *παραφέρεται* G¹ et L, *περιφ.* R P et G¹ alio loco (v. *Animadv.*). | 26-356, 9 G² R P | 27 *ὁμοία* G² R P, corr. *IGSchn.* *βασιλικὴν* R P | 28 *τὸ μὲν* R P.

οἰδεῖ, φλέγον αὐτὴν καὶ παραφροσύνην ἐμποιοῦν ἐσθίειν αὐτὴν παρασκευάζει. δίκην δὲ ἰξοῦ τὴν τροφὴν κατέχει ἔμφραξιν ἐργαζόμενον ὄυρου τε καὶ κόπρων, καταπνῖγον δὲ τὸ πνεῦμα περὶ τὰς στενὰς τῶν ἐντέρων ὁδοὺς εἰλεῖσθαι ποιεῖ καὶ δι' ἕδρας ψόφους παρασκευάζει, ἢ διὰ στόματος ἐρεύγεσθαι δίδωσι. τοῦτο τὸ ποτὸν πολλάκις ἐμεῖν παρασκευάζει τὴν τροφὴν παραπλήσιον τοῖς ἄνευ ὀστράκων ᾠοῖς τῶν ὀρνίθων, οἷον τοῖς ἀτελέσι καὶ ἐν τῷ ὑμένι οὖσι, τουτέστι νεωστὶ τεθρομβωμένοις ἐν τοῖς ἐγκάτοις αὐτῶν καὶ ὑμένας μόνους ἔχουσιν.

284. ἀμφὶ δὲ δοιούς· ἐπιφράσσουσα πόρους, τουτέστι τῆς τροφῆς καὶ τῆς πόσεως ἢ τοῦ ἀποπάτου καὶ τῶν οὔρων, ὃ καὶ βέλτιον.

285. εἰκῇ· ἀδιαχώριστον, φησί, γίνεται εἰκῇ καὶ ἄνευ λόγου ἐντὸς ἐνειλούμενον τὸ πνεῦμα ψόφον ἀποτελεῖ, ἐν ὀλίγῳ δὲ φυσήματι ἑλίσσεται τουτέστιν ἐν μικρῷ πνεύματι ταράσσεται· μικρὸν γὰρ τὸ πνεῦμα ἀπολύει.

287. ὄγμῳ δέ, τῷ εὐθὺς ἀναφερομένῳ πνεύματι, ἄρτι δὲ καὶ τῷ φερομένῳ. λέγει δὲ καὶ τοῦ φυσέλου, οὗ τὴν ὑπερβολὴν εἴκασε βροντῇ, φαντασίας τε βροντῶν ἢ ἤχων θαλασσίων, ἢ ὁποῖος ῥόχθος ἐπηχεῖ ταῖς σπιλάσι.

288. ⟨πολλάκι δὲ βροντῇσιν G^1⟩· πολλάκις δέ, φησί, ταῖς βρονταῖς τοῦ Ὀλύμπου ὁμοιούμενος, ποτὲ δὲ τοῖς ἤχοις τῆς θαλάσσης παραπλήσιος ὤν. ἀνοβρήεντος δὲ πολυόμβρου, ὥς φησιν Ὅμηρος ⟨Z 43 et 44⟩·

οὐδέ ποτ' ὄμβρῳ
δεύεται.

291. στρευγομένῳ· ἐλαυνομένῳ ἢ συνεχομένῳ· οἱ δὲ γλωσσογράφοι, κατὰ στράγγα ἀπολλυμένῳ.

1 ἐμποιῆσαν R P ἐσθίει P | 2 παρασκευάζειν P δὲ om. G^2 | 3 κόπρου R P | 4 εἰλεῖσθαι] ἠχῆσθαι R | 5 ἢ] ὃ R ἐρεύγεται R | 8 ὑμένι] πυθμένι R | 10-12 dedi ex G^1 | 11 ἀποτάτου cod., corr. *Vári* | 11-12 ὃ καὶ βέλτιον add. G^2 | 14 ἐνειλουμένου R | 16 γὰρ] δὲ R ἀπολλύει P | 17 ῥόχθῳ est lemma in R P ἀναφ. εὐθὺς R P | 17-18 ἄρτι — φυσέλου omm. R P | 19 verba φαντασίας (φαντασίαις corr. *IGSchn.*) — θαλασσίων habet G^1: horum loco R P: ἢ ἤχῳ θαλασσίῳ | 19 ἢ alterum om. P | 20 ὑπηχεῖ G^1 | 21 φησι om. G^1 inser. G^2 post Ὀλύμπου (22) | 22 τῆς βροντῆς R | 23 τῆς om. R, ἀνοβρ. δὲ πολ. habent G^2 R P | 24-26 verba ὡς — δεύεται R P | 27 τῷ καὶ στρ. est lemma in G^1.

292. *λύματα δὲ ἀντὶ τοῦ καθάρματα· τὰ πινόμενα, φησί, τῶν φαρμάκων ἐμεῖν παρασκευάζουσι διεφθαρυῖαν τὴν τροφὴν παραπλησίαν τοῖς ἄνευ λεπύρου τικτομένοις καὶ διεφθαρμένοις ᾠοῖς. πολλὰ γὰρ διά τινα πληγὴν ἢ περίστασιν ἐκβάλλει ἡ ὄρνις χωρὶς τοῦ κελύφου τῶν ᾠῶν.* 5

293. *φαρμακόεις· ἀντὶ τοῦ φαρμακόεσσαι,* ⟨*ἀλεξιφάρμακοι* R P⟩· *αἱ φαρμακώδεις πόσεις, φησί, τὰς ἀκαθαρσίας ἔχεαν ὁμοίας τοῖς ᾠοῖς, οἷα ἡ νομὰς ὄρνις ἐκβάλλει νεωστὶ τεθρομβωμένα καὶ φυσοειδῆ χωρὶς τοῦ κελύφου.*

294. *αἰχμητῇσι νεοσσοῖς· τοῖς ἀλεκτρυόσι δηλαδή· οὗτοι γὰρ πρὸς ἀλλήλους πολεμισταὶ γίνονται.* 10

295. *ἄλλοτε μὲν πληγῇσι· πάσχει γὰρ καὶ ἀπὸ πληγῆς καὶ ἐκ πάθους ἐναποκειμένου αὐτῇ· τὸ ῥίπτειν φησὶν ἀτελῆ τὰ ᾠὰ καὶ οἷα φύσας τινὰς καὶ ἀνόστρακα πολλάκις καὶ ἀπὸ νόσου τινὸς γίνεται αὐτῇ.* 15

297. *δύσπεπτον δὲ γόνον· ἀντὶ τοῦ ἀμετάβλητον τὸν γόνον, ἔτι ἐν τῷ ὑμένι ὄντα, ἐκβάλλει.*

298. *τῷ μὲν τ᾽ εὐβραχέος· τούτῳ μὲν τῷ πεπωκότι τὸ ἄλγος ἀρήξει τὸ μετὰ γλεύκους ἐνστῦφον πόμα τοῦ ἀψινθίου. εἴωθε γὰρ τὰ πικρὰ καὶ δριμέα στύφοντα καλεῖν· τοὺς γοῦν ὄμφακας ἐπιστύφοντας ἔφη* ⟨fgm. 91⟩· 20

ὄμφακες, ἡνίκα χεῖλος ἐπιστύφουσι ποθεῖσαι.

κελεύει οὖν ἐν γλεύκει βρέχειν ἀψίνθιον καὶ οὕτω διδόναι πίνειν. προστάττει δὲ καὶ ῥητίνην τερεβινθίνην ἢ πευκίνην ⟨*λαβεῖν* G^1⟩ *ἢ πίτυος δάκρυα μετὰ γλεύκους, καὶ τὰ ἑξῆς.* 25

299. *νεοτρίπτῳ· ἤγουν νεωστὶ τριβέντι, οἷον θλιβέντι, πατηθέντι, ἤτοι μετὰ τοῦ γλεύκους* ⟨*τὸν* G^1⟩ *τοῦ ἀψινθίου ζωμόν.*

1-5 G^2 R P | 1 *λύματα δὲ ἀκαθαρσίας τὰ πιν. κτέ.* R P | 2 *φαρμ.*] *βοηθημάτων* R P *διεφθορεῖαν* R P | 6 *φαρμακοέσσαις* R P | 7 *φησὶν* post *ἔχεαν* add. G^2, *φασὶ* R *ἔχεον* R P | 8 *ὁμοίας* R, *ὅμοια* G^1, *ὅμοιαν* P | 9 *φυσιοειδῆ* R P | 10-11 G^2 R P | 11 *πολεμικαὶ* R | 13 *πλήθους* codd., *πάθους* scripsi ex con. *Bentl.* | 14 *φύσσας* R P | 15 *αὐτῇ* om. G, ...*το αὐτῇ* add. G^2 (h. e. *τοῦτο αυτῇ*, quod legi in cod. *Lorr.* tradit *IGSchn.*) | 16-17 om. G^1 | 16 *δὲ γ.*] *δίγονον* R | 18-19 usque ad *ἀψινθίου* G^2 R P | 18 *τ᾽ εὐβρεχέος* R, om. G^2 *τῷ μὲν καὶ τουτῳ* (*τοῦτο* P) *τὸ ἄλγος* R P, *τῷ μὲν τοῦτο π.* con. *IGSchn.* | 19 *ἔνστυφον* codd., corr. *Keil.* *πόμα* post *ἀψινθίου* habet G^2 | 21 *ἐπιστυφίδας* P | 22 *ὄμφακες δὲ* R P | 23 *οὖν*] *δὲ* G^1 | 24 *προστ. δὲ καὶ*] *ἢ* R P *τερεβινθίην* R | 25 *μετὰ — ἑξῆς* om. G^1 | 26-27 praebet G^1 post *ὑπάρχει* (358, 5).

301. *γοερῆς* ⟨*ἀπὸ δάκρυα* RP⟩· ὅτι πολὺ στάζει δάκρυον, ἢ ὅτι ἐν αὐτῇ ἀπεδερματίσθη Μαρσύας· μυθεύεται γὰρ ὡς, ἐπειδὴ Μαρσύας δεθεὶς ἐκ πίτυος ἐξεδάρη ὑπὸ τοῦ Ἀπόλλωνος, ἡ πίτυς συμπαθὴς ἐπ' αὐτῷ γινομένη θρηνώδης ὑπάρχει. *τμῆξαι* δὲ ἀντὶ τοῦ κόψαι ἢ ξέσαι ἢ μῖξαι· ἢ τῆς πίτυος, φησί, ἧχι τοῦ Μαρσύου τὸν φλόα ὁ Φοῖβος ἀπεδύσατο ἐκ τῶν μελῶν, τουτέστιν ὅπου αὐτὸν ἔξεσεν· εἰς πίτυν γὰρ αὐτὸν ἔξεσεν καὶ ἐξέδειρε κρεμάσας· αὕτη δὲ ἡ πίτυς τὸν μόρον τοῦ Μαρσύου τὸν πολύπυστον ἐπαιάζουσα κατ' ἄγκη, καὶ τὰ ἑξῆς.

305. *ἆσαι δὴ πολίοιο*· κόρεσον αὐτὸν τοῦ ἄνθους τοῦ μυοκτόνου πολίου. ἰδίως δὲ μυοκτόνον εἴρηκεν, οὔτε γὰρ οὕτω κέκληκέ τις, οὔτε μύας ἀναιρεῖ. κελεύει οὖν λαβεῖν πολίου ἄνθος καὶ πηγάνου βλάστας ⟨καὶ νάρδον G[1]⟩ καὶ κάστορος ὄρχιν. *λιμναῖον* δὲ ἔφη, ἐπειδὴ ἐν τοῖς ποταμοῖς καὶ ἐν ταῖς λίμναις διαιτᾶται, καθάπερ καὶ ὁ ἱπποπόταμος. δοκεῖ δὲ ὁ ὄρχις τούτου ὅμοιος εἶναι τῷ τοῦ κάστορος. οὗτος δὲ ὁ κάστωρ, ὥς φασι, διωκόμενος κόψας τοὺς ὄρχεις ῥίπτει, εἰδὼς ὅτι δι' αὐτοὺς διώκεται.

308. ⟨*ἢ ὀδελόν* G[1]⟩· ἢ ὀβελὸν σιλφίου τῷ χαρακτηρικῷ κνηστῆρι κατάτριψον, οἷον ξέσον, κόψον ⟨τῇ μαχαίρᾳ G[1]⟩, σιλφίου τῆς ῥίζης τοῦ ὀποῦ ὀβολοὺς δύο καὶ τραγορίγανον ἢ γάλα προσφάτως ἠμελγμένον.

310. *τραγορίγανον* δέ ἐστιν ὄρειον, ὅπερ ἐσθίοντες οἱ τράγοι γίνονται κατωφερεῖς, διὸ οὕτως εἴρηται. αὐτὴ ἡ ῥίζα λέγεται σίλφιον, ὁ δὲ ταύτης ὀπὸς καλεῖται Κυρηναϊκὸς ὀπός. *ἠὲ γάλακτος*· ἢ τοῦ γάλακτος τοῦ νεωστὶ πηγνυμένου ἐν τῇ νεαμέλκτῳ πέλλῃ κορεσθείη, τουτέστι τυροῦ νεωστὶ πήξαντος.

2 ἢ ὅτι codd., quod ineptissimum est: num *διότι*? | 2-3 *γὰρ ὡς* om. G[1] *ἐκ πίτυος*] *ἐν πίτυϊ* G[1] | 4 *γιν. ἐπ' αὐτῷ* G[1] *θρηνώδης*] *στεναγμώδης* G[1], *γράφεται θρηνώδης* add. G[2] *ὑπάρχειν* G[1] | 7 *ὅπου αὐτὸς* codd., *ὅ. αὐτὸν* edd. | 8 *δὲ*] *γὰρ* R | 10 *τοῦ ἄνθους* *IGSchn.*, *τὸ ἄνθος* RPG[1] (sed supra *τὸ* scripsit G[2] *τοῦ*) | 11-12 verba *ἰδίως — ἀναιρεῖ* in principio ante *ἆσαι* praebet G[1] | 11 *ἰδία* P *ἰδίως δὲ ὁ μυόκτονος* R *οὕτω γὰρ οὔτε* RP | 12 *μυίας* P ante *κελεύει* add. G[1] induxit G[2]: *ἄλλως* | 15-16 *οἱ ὄρχεις τ. ὅμοιοι εἶναι τοῖς κάστορος* R | 16-17 *σημείωσον, ὅτι ὁ κάστωρ διωκ. κόπτει καὶ ῥίπτει τοὺς ὄρχεις εἰδὼς κτέ.* G[1] | 18-19 *τῷ χ. κνηστῆρι, χαρακτῷ* G[1], quibus add. G[2] in mg.: *κατάτριψον οἷον ξ. κ. κνηστῆρι χαρακτῷ*. dedi ex RP | 20 *τῆς ὀποῦ* codd., sed *τοῦ* corr.m. rec. R *ὀβολοὺς*] *ὀβελὰ* RP | 21 *ἠμελγωμένον* G[1], *ἀμελγμένον* R | 23 *οὗτος* R | 23-24 *αὐτὴ — ὀπός* RP | 23 *αὕτη* P | 24 *κυρην. καλεῖται* R | 25-26 *νεομέλκτῳ* P.

312. *ταύρου αἷμα*· τὸ ταύρειον αἷμά φησι Πραξαγόρας πινόμενον πήγνυσθαι ⟨ἐν τῷ στήθει RP⟩ καὶ θρομβοῦσθαι, ἔπειτα, συνεχομένων τῶν πνοῶν, θνήσκειν ποιεῖ, οὐ λανθάνει δὲ πινόμενον, ὥσπερ καὶ τὰ ἄλλα δηλητήρια πολλάκις ἀγνοοῦνται· ἔστι γὰρ εὐτονώτερον τοῦ τῶν ἄλλων ζῴων αἵματος, ὡς Ἀριστοτέλης ⟨h. a. III, 19, 2 p. a. II, 4, 3⟩· διὸ καὶ ἀφρόνως, εἶπε, τινὲς ἀποκαρτεροῦντες πίνουσιν αὐτὸ καὶ τελευτῶσι.

314. *εἶαρ*· τὸ αἷμα παρὰ τὸ ἐν ἔαρι πλημμυρεῖν καὶ πλεονάζειν.

315. *θρομβοῦται δέ*, ἀντὶ τοῦ πήγνυται τὸ ⟨ταύρειον G^2RP⟩ αἷμα ποθὲν καὶ ἐμφράσσει τοὺς πόρους τῆς ἀναπνοῆς, καὶ οὕτως ἀπόλλυται ὁ πίνων.

316. ⟨*φράσσονται δὲ πόροι* G^1⟩· οἱ πόροι τῶν πνοῶν φράσσονται, τὸ δὲ πνεῦμα θλίβεται ἐντός, οἱονεὶ σφίγγεται, τοῦ αὐχένος ἐμπλασθέντος, ἤτοι ἐμφραχθέντος καὶ ἀποκλεισθέντος.

318. *μεμορυχμένος*· τουτέστι μεμολυσμένος τῷ ἀφρῷ, περιφραστικῶς δὲ ἀφρίζων.

319. *ἀποκραδίσειας*· ἀπὸ τῆς κράδης κόψειας, οἷον ἀποσυκίσειας, τουτέστι λάβοις. *ἐρινοὺς* δὲ τοὺς κλάδους τῆς συκῆς, ἐρινεὸς γὰρ ἡ συκῆ παρὰ τὸ ἐρίζειν παντὶ φυτῷ. *ἄλλως*· ἀφέλοιο τοὺς τῆς ἀγρίας συκῆς ὀλύνθους· οὗτοι γὰρ μηδέπω ὄντες πέπειροι ἔχουσιν ὀπόν.

320. *τὸ δ' ἀθρόον*· ἀθρόον καὶ πολὺ ὄξος μίξας ὕδατι συγκέρασον καὶ δὸς πιεῖν. τὸ δὲ ὄξος φησίν, ἤτοι εἰς ὃ ἀπεβράχησαν οἱ ὄλυνθοι τῆς ἀγρίας συκῆς, ἢ ἁπλῶς δι' ἑτέρου βοηθήματος· εἰ δὲ τὸ πρότερον εἴη, τὸ *ἐμπίσαιο* ἀντὶ τοῦ βρέξον.

322. *ἐκφλοίοιο*· ἐκσύρειας, ἐκθλίψειας, κλύσον, φησί, τὴν γαστέρα. ἢ καὶ τοῦ τῆς συκῆς φλοιοῦ... λ..... οι.

1 lemma in G^1: *ἢν δέ, τις ἀφροσύνῃ* | 3 *συνέχων τὸ πνεῦμα* R P *ποιεῖ* om. G^1 | 4-5 *ὥσπερ — ἀγνοοῦνται* G^2 R P | 5 *γὰρ*] *δὲ* G^1 *ἀτονώτερον* R P | 6 inde a *διὸ* — 7 G^2 R P; v. *Animadv.* | 11 inde a *καὶ ἐμφράσσει* — 12 habet tantum G^1 | 13 *καὶ φράσσονται οἱ πόροι τῶν πν.*, omisso lemmate, R P | 14 *θλιβόμενον* P | 17 *μεμορυχμένος*] *μεμορυγμένον* R, *μεμορυγμένος δὲ* P *μεμολυσμένον* R, *μεμορυγμένος* iterum P | 20 *ἐρινεοὺς* P | 21 *ἡ ἀγρία συκῆ* edd. | 21-22 *παρὰ τὸ ἐρίζειν εἰς ὕψος ἀεὶ τῷ πλησίον φυτῷ* edd. *ἀφέλοιτο* R P | 24-27 G^2 R P | 24 *ὕδασι μίξας* G^2 | 26 *δι'*] *ὡς* R P | 29 nihil post *φλοιοῦ* exhibent R P; v. *Animadv.*

καταχθέος δέ, κατάγοντος τὰ περιττώματα τῆς γαστρός,
ἢ πολυαχθέος, τῆς πολὺ ἄχθος ἐχούσης, δηλονότι περιττωμάτων.
323. ⟨πυετίην ὀθόνης R P⟩· πυετίαν, φησί, λαβὼν ἢ
προκός, ⟨ὅ ἐστι δορκάδος R P⟩, ἢ ἐρίφου ἢ νεβροῦ ἢ λαγωοῦ
5 κόψον καὶ ἤθησον ἐν ῥάκει λεπτῷ, καὶ τρεῖς ὀβολοὺς τρίψας
καὶ σμήξας ἐν οἴνῳ δίδου πιεῖν. πολυωπέι· ἐν πολυωπῷ κόλπῳ
τῆς ὀθόνης.

328. ἔνι δεύκει βάκχου· καὶ γὰρ τὸ ἐνὶ δεύκει, ἡδύ,
ἡδέως. ἰδίως δευκέα λέγει τὸν ἡδύν, ἢ μᾶλλον τὸν παλαιὸν ὡς
10 πικρίζοντα.

329. σιλφιόεσσαν· ἴσην μοῖράν φησι λαμβάνειν σιλφίου
καὶ ὀποῦ καὶ σπέρμα κράμβης μετὰ ὄξους. ⟨ἄλλως G[1]⟩· καὶ
σιλφίου φησὶ καὶ ὀποῦ Κυρηναικοῦ καὶ σπέρμα κράμβης τῶν
τριῶν ὁμοῦ λίτραν μεμοιραμένην.

15 332. κατασμώξαιο· κατάτριψον τά ἁπαλὰ τοῦ βάτου·
τούτῳ δὲ τὴν πῆξιν τοῦ ταυρείου αἵματος ῥᾳδίως σκεδάσειας.
ἤτοι ἑστῶσαν ἐν τῇ γαστρί ⟨σου G[2]⟩ διαθρύψειας.

335. μὴ μὲν ἐπαλγύνουσα· μὴ λάθῃ σε ἡ ἀλγηδόνα
παρέχουσα πόσις τῆς βουπρήστιδος· πεύσῃ δὲ καὶ γνώσῃ δα-
20 μαζόμενον τὸν πίοντα ἄνδρα.

βούπρηστις δὲ ζῷόν ἐστι παραπλήσιον φαλαγγίῳ, ὃ
διατίθησι τοὺς βόας κακῶς· τοῖς οὖν πίνουσι, φησί, τὴν βούπρη-
στιν ὀδύνη παρακολουθεῖ. ⟨ἄλλως G[1]⟩· βούπρηστις ζῷόν ἐστι
χερσαῖον, ὠνόμασθαι δὲ ἀπὸ τοῦ ἐμπιπράναι τοὺς βόας ἐπειδὰν
25 δηχθῶσιν ἢ μόνον αὐτὸ περιχάνωσι· φησὶν Ἀριστοτέλης ἐν τῷ

1-2 R P | 3 πυτίαν G[1] L | 5 τρίψας om. G[1] | 6 σμίξας G[1], corr. W., μίξον, omisso καὶ, R P, unde καὶ μίξας dederat *IGSchn.* πιεῖν om. G[1] πολυωπεῖ G[1] | 8-9 usque ad ἡδέως R P | 8 ἔνι δεύκει] ἐνδευκέϊ G[1], quod corr. G[2], ἐνδεύκει R, ἐνὶ δεύκει P βάκχου om. G[2] | 9 inde a ἰδίως — 10 G[2] R P ἀδευκέα R P, δευκέϊ G[2] ex quo dedit δευκέα *IGSchn.* | 11 σιλφ. δὲ λίτρην (λίτραν P, λιτρῶν R, corr. *Ald.*) ἀντὶ τοῦ ἰσ. μ., omisso φησι, R P | 13 καὶ σπέρμα κράμβης om. R | 14 μεμοιραμένην P. ad v. 331 quaedam ex *Eutecn.* 238b 35-38 add. in G forfasse man. tertia | 16 τούτου R P ῥαδιώς om. G[1] | 20 verba inde a ἤτοι praebent G[2] R P ἑστῶσαν om. R quaedam hic quoque ad v. 333 add. m. 3? ex *Eutecn.* 238b 38-41 | 19 sqq. ordinem secutus sum scholiorum in G[1]: verba primum exhibb. R P βούπρηστις — κανθαρίδι (23-361, 3), postea μὴ μὲν — ἄνδρα (18-20) et βούπρηστις — παρακολουθεῖ (21-23) | 18 ἀπαλγύνουσα in lemma G[1] | 19 τῆς om. R | 22 τοὺς οὖν πίνοντας P | 25 αὐτὸ μόνον G[1].

περὶ ζῴων (VIII 24, 2) ὅτι ἐὰν καὶ ἵππος περιχάνῃ τὸν λεγόμενον σταφυλῖνον, ἔστι δὲ ζῷον ὅμοιον σφονδύλῃ, διαφθείρεται, ἄλλοι δέ φασι ζῷον εἶναι ὅμοιον κανθαρίδι.

337. ἣ δ' ἤτοι· ἡ βούπρηστις ἐγχρωτάζουσα εἰς τὰ χαλινὰ λίτρῳ ὅμοιαν ἔχει τὴν γεῦσιν.

ἣ δ' ἤτοι ⟨λίτρῳ μέν G¹⟩· νίτρῳ παραπλησίαν τὴν χροιὰν γίνεσθαί φησι κατὰ τοὺς χαλινοὺς τῶν πινόντων, εἰ μὴ ἄρα νιτρώδεις φησὶ αὐτοὺς ἔχειν προφορὰς κατὰ τὴν ἀντίληψιν, περὶ δὲ τὴν κοιλίαν πόνοι καὶ οὔρων παρακράτησις, καὶ ἡ κύστις ῥοχθεῖ, ὅ ἐστι ψοφεῖ, τοῖς δὲ ὑδρωπικοῖς παραπλησίως ὀκνοῦνται, τοῦ δέρματος αὐτῶν παράτασιν λαμβάνοντος, ὡς καὶ τῶν βοῶν ὅταν φάγωσι τὰ καυλεῖα, τουτέστι τὰς βοτάνας, ἐν αἷς τὰ θηρία.

339. περὶ στομάτεσσιν· ὑπερβατόν· ἐν τοῖς στόμασι τῆς γαστρὸς τὰ ἄλγη περιπολεύοντα ὄρωρε.

341. διαπίμπραται· παραφυσᾶται, ὡς ὑπὸ ὕδρωπος· τρία δὲ γένη ὑδρώπων, ὧν ὁ εἷς τυμπανόεις λέγεται.

342. ἀφυσγετός· κυρίως μὲν ὁ ἐκ τῶν ποταμῶν γινόμενος συρφετὸς ἀφυσγετὸς καλεῖται, ἤτοι ἡ ἀθροιζομένη χορτώδης ὕλη· νῦν δὲ εἴρηκε διὰ τὸ πᾶσαν ἀκαθαρσίαν τοῦ σώματος εἰς τὴν γαστέρα συνερρυηκέναι.

345. ὁππότε θῆρα· τουτέστιν ὅτε δατέονται καὶ μερίζονται τὸν τῶν θηρῶν τόπον, οἱονεὶ τὸ ὄρος νομαζόμενοι καὶ βοσκόμενοι.

ἄλλως· γράφεται πίμπραται ἐσχατιῇσιν, ὅταν καυλεῖα φάγωσιν· ὅταν, φησί, ἐν ταῖς ἐσχατιαῖς περὶ τὰ πρόποδα τῶν ὀρῶν τὰ καυλεῖα ⟨αὐτῆς, τουτέστι G¹⟩ τῆς βουπρήστιδος, φάγωσι.

1 καὶ om. R | 2 σταφύλινον R P | 4 ἢ P δήτοι R P εἰς] ἐς P | 5 λίτρῳ ex νίτρῳ corr. R | 6-7 τὴν χροιὰν παραπλησίαν R P πιόντων G¹ | 9 περικρότησις R P | 11 ὀκνοῦται R P αὐτοῦ R P | 12 καὶ om. P φάγωσί φησι R | 14 περιστομάτεσσιν R P | 15 περιπολεύονται R P | 16 διαπίμπραται — ὕδρωπος G¹ | 18 ἀφ. δὲ (καὶ R) καλεῖται κυρίως μὲν ὁ ἐκ τῶν π. γινόμενος συρφετός R P | 19-20 ἤτοι — ὕλη om. G¹ | 21 συνερρυκέναι G¹ | 22 sqq. ὁππότε κτέ.] ἐσχατιῇσιν· ὅταν γρ. ὁππότε (ὁπότε P) θῆρα νομαζόμενοι (corr. ex -αι R, δαμαζόμενοι P) δατέονται· τουτέστιν ὅτε δατέονται καὶ (τουτ. ὅτε δατ. καὶ om. R) μερίζονται κτέ. R P | 25 ἄλλως· γρ. πίμπραται] τὸ δὲ R P | 26-27 περὶ — ὀρῶν G² R P | 27 πρόποδα] τρίποδα R.

ἀντὶ τοῦ εἰπεῖν ἐνταῦθα τὸν ἐξηγητήν· δατέονται καὶ μερίζονται τὸν θῆρα, ἤτοι μᾶλλον κατατρώγουσι, τὰ γὰρ μασώμενα καὶ κατατρωγόμενα μερίζονται, ἔφη κακῶς· οἱ δαμάλεις καὶ οἱ μόσχοι νομαζόμενοι καὶ βοσκόμενοι τὸν τόπον τῶν θηρῶν.

5 347. *τῷ καὶ εὐκραδέης*· διχῶς καὶ ἡ γραφὴ καὶ ἡ ἐξήγησις· μία μὲν οὕτως· καὶ τῷ *εὐκραδέης τριπετῇ ἐν νέκταρι μίξαις, σύκων ἀνανθεῖσαν ἅλις πόσιν ὀμφαλόεσσαν*, ἵνα συνταχθῇ οὕτως· διὰ τοῦτο καὶ τῆς καλῆς κράδης τὴν τριπετῆ τῶν σύκων πόσιν τὴν ἱκανῶς ξηρανθεῖσαν καὶ ὀμφα-
10 λόεσσαν ἐν νέκταρι μίξαις· *τριπετῆ*· οἱονεὶ τριπέτηλον, τὴν ἐκ σύκων σχιζομένων εἰς τρία πέτηλα· τὰ γὰρ σῦκα ξηραινόμενα εἰς τρία σχίζεται, ἢ ὅτι τὰ φύλλα τῆς συκῆς εἰς τρία ἔσχισται· *ὀμφαλόεσσαν* δέ, ἢ τὴν τῷ ὀμφαλῷ προσιζάνουσαν ἢ τὴν ἐκ σύκων τῶν ὀμφαλοὺς ἐχόντων· τὰ γὰρ σῦκα τρύπας
15 ἔχουσι κάτωθεν δίκην ὀμφαλοῦ, δι' ὧν τρυπῶν ὁ ὀπὸς αὐτῶν ῥεῖ· γράφεται καὶ *τριετεῖ ἐν νέκταρι*, ἵν' ᾖ· τῆς καλῆς κράδης τὴν ἐκ τῶν σύκων ἀνανθεῖσαν ἅλις πόσιν τὴν ὀμφαλόεσσαν ἐν τριετεῖ νέκταρι μίξαις.

ἄλλως· ἀνανθεῖσαν, τὴν ἀπὸ ξηρῶν σύκων· *τριπετῆ*
20 δὲ τρίσχιστον, ὅτι τὰ φύλλα τῆς συκῆς εἰς τρία ἔσχισται. γράφεται *τοῖς δὲ καὶ εὐκραδέος*· κελεύει δὲ ξηρὰ σῦκα μετὰ οἴνου ἑψήσαντα διδόναι πιεῖν· ἢ ὀμφαλόεσσαν τὴν τροφόεσσαν, παρὰ τὸν ὀμφαλόν· βρῶσις γὰρ ὀμφαλός, ἐπεὶ δι' αὐτοῦ τὰ ἔμβρυα πάντα τὴν τροφὴν δέχεται καὶ ἀναπνεῖ τοῦ στό-
25 ματος μεμυκότος διὰ τὸ πλῆθος τῶν ὑγρῶν, ἵνα μὴ ἀπόληται.

351. *μελιζώροιο*· ἀμφίβολον, πότερον τὸ τῶν σύκων πόμα μελίζωρον εἴρηκεν ἢ ἕτερον ἐκ τῆς μελιζώρου βοτάνης.

1-4 G^2 | 2-3 *μασόμενα* cod., corr. *IGSchn.* | 5 *καὶ* post *διχῶς* omm. R P | 6 *τῷ* om. G^1 *τριπετεῖ* P *ἐνὶ* R | 7 *μίξας* R *σύκων — ὀμφαλόεσσαν] καὶ τὰ ἑξῆς* R P | 10 post *μίξαις* add. mg. G^2: *ἄλλως περιπετῆ* P | 11 *σχιζομένην* R P | 12-13 *ἢ — ἔσχισται* G^2 R P | 13 *ἔσχισται] σχίζονται* R P | 14-15 *τὰ γὰρ σύκα* (sic) *κάτω ὀπὰς ἔχουσι* R P | 15 *δι' οὗπερ* R P *τρυπῶν* omm. R P | 16 et 18 *τριετῆ* R | 20 *τρίστιχον* R | 21 *τοῖς δὲ γράφεται καί εὐκρ.* G^1 *τοῖς] τῆς* P | 21-22 *μετὰ οἴνου] ἐν οἴνω* R P inde a *διδόναι* — 25 G^2 R P *τροφόεσσαν] τροφώδη* R P | 23 *παρὰ] περὶ* R P *γὰρ ὁ ὀμφ.* R P | 25 *μεμυκότος* om. R (sed mg. m. rec.: *ἴσως ἐμφραττομένου*) *ἀπόλυται* R ad v. 349 quaedam leguntur in G^2 ex *Eutecn.* 239b 10-12 | 26 *ποτήρων διὰ τὸ* P R (sed in R corr. ead. m. *πότερον τὸ*) | 27 *ἐκ μελιζώρου β.* G^1, quae induxit G^2.

τὸ δὲ γλάγος εἰν ἐνὶ χεύαις, ἀγγείῳ δηλονότι· μῖξον δέ, φησί, τὸ γάλα τοῖς ξηροῖς φοίνιξιν.

354. *ἄλλοτε δ' αὐαλέης*· κατὰ κοινοῦ τὸ καταμίσγεο καρπόν· ἀχρὰς δὲ καὶ βάκχη ⟨καὶ μυρτὶς G^1⟩ εἴδη ἀπίων· ἔστι δὲ καὶ εἶδος ἐλαίας μυρτίνη καλουμένη.

356. *ἢ ὅγε καὶ θηλῇ*· θηλάζειν φησὶ τὸν πάσχοντα ποτὲ μὲν γυναῖκα ποτὲ δὲ βοῦν· ὡς οἷα βρέφος ἀρτιγενές, οὕτως ἐμπελάσοι τῷ θηλασμῷ ἤγουν τῷ μαστῷ.

357. *μοσχηδὸν δὲ* μόσχου δίκην, δι' οὗ σημαίνει τὸ ἁπαλὸν ⟨καὶ τρυφερόν R P⟩· μόσχευμα γὰρ πᾶν τὸ ἁπαλόν, ὡς Ὅμηρος ⟨Λ 105⟩·

μόσχοισι λύγοισιν.

358. *οἵη τ' ἐξ ὑμένων*· ⟨ὁποῖα G^1⟩ ἡ νεαλής, ὅ ἐστιν ἡ νεαρά, μόσχος τὰ οὔθατα ἀνακρούουσα ἐκ τῶν ὑμένων ταράσσει τὴν μενεοικέα χύσιν τῆς θηλῆς.

360. *ἄλλοτε πιαλέης*· ἔλαιόν φησι θερμὸν λαβὼν βιάζου ἐμεῖν ἐντιθεὶς τὰς χεῖρας ἢ πτερὸν ἢ πάπυρον τὸν πρὸς ἔμετον ἐπιτήδειον, τῶν κακῶν, φησί, τοῦ φάρυγγος ἑλκυστῆρα.

ἀνακεφαλαίωσις τῆς θεραπείας τῆς βουπρήστιδος· ἀπὸ συκῆς ξηρῶν σύκων τετριμμένων μετὰ οἴνου πόσις, ἢ μελιζώρου ἱκανὴ πόσις, ἢ γάλακτος καὶ φοινίκων καρποῦ μεμιγμένη πόσις, ἢ ψυκτῆς ἀχράδος ἢ ἄλλων ἀπίων μετὰ οἴνου, ἢ ἵνα θηλάσῃ μαστὸν γυναικὸς ὡς παιδίον ἢ θερμοῦ ἐλαίου εἰς κόρον πόσις, δεῖ δὲ ἐφ' ἑκάστῃ πόσει τοὺς δακτύλους χαλᾶν ἢ πάπυρον ἢ πτερὸν ἐμβάλλειν εἰς τὸ στόμα καὶ ἀναγκάζειν ἐμεῖν ὅπως τάχιστα τῆς νόσου ἀπαλλαγῇ.

1-2 G^2 R P: haec G^1: *ψαφαρόν· αὐχμηρόν, ξηροὺς δὲ φοίνικας κελεύει εἰς τὸ γάλα μιγνύναι* *εἰν ἐνὶ*] *εἰς ἓν* R P *ἀγγεῖον* R P | 3 *ἀπὸ κοινοῦ* R P | 5 *ἔστι — καλουμένη* R P | 6 *ὅγε*] *ὅτε* R *θηλῆς* codd. (sed corr. G^1 R) | 7 post *βοῦν* add. lemma G^1: *ἅτε δὲ βρέφος* | 8 *ἐμπελάσῃ* R *ἐμπελάσσῃ* P *τῷ — ἤγουν* R P *τῷ θηλασμῷ* scripsi ex con. *Bentl.*, *τῷ δεσμῷ* P, *τῇ θηλῇ* R | 10 *τὸ ἁ. πᾶν* G^1 | 12 *σιλίγοισι* P | 13 *οἵη τ' ἐξ ὑμένων ταράσσει* (*ταράσσῃ* P, *βράσσει* con. *Buss.*) *ἡ νεαλὴς κτέ* R P | 16 *ἄλλοτε π. πόσιος* est lemma in R P *θερμόν* omm. G^1 G^2 | 17 *ἢ τὸ πτερὸν* P *ἢ πάπυρον* — 19 dedi ex R P, quorum loco G^1: *ἢ ἀπὸ τῶν παπύρων πρὸς τὸν* (*πρὸς τὸν* add. G^2) *ἔμετον* | 18 *ὃν τῶν κακῶν φησι* ci. *Bentl.* | 20-27 G^2 R P | 21 *τετριμένων* P *οἴνου πόσιος* R *μελιζώου* R | 22 *μεμιγμένη δόσις* G^2 | 25 *ἑκάστῳ ποτῷ* G^2 | 26 *πτερὰ* R P.

364. *ἦν δ' ἐπιθρομβωθῇ· ἐὰν δὲ θρομβωθῇ, ὅ ἐστι τυρωθῇ τὸ νεαλὲς γάλα, ἤγουν τὸ νεωστὶ ποθέν, πνιγμὸς ἐπακολουθεῖ εἰς ἓν ἀθροιζομένου τοῦ πόματος, ἤγουν τοῦ γάλακτος.*

366. *τρισσάς πόσιας· ἀντὶ τοῦ τρεῖς μοίρας, μέσας μὲν ὄξεος, δοιὰς δὲ γλυκέος, τουτέστι τὰς δύο μοίρας γλυκέος καὶ τὴν μέσην τούτων, τουτέστι τὴν μίαν, ὄξεος.*

368. *ἢ ἔτι καὶ Λιβύηθε· ἀλλὰ καὶ τοῦ ἐκ τῆς Λιβύης σιλφίου τὰς ῥίζας τῷ ποτῷ ἐγκνήθεο, ⟨τουτέστιν ἔντριβε* G^2 R P⟩.

369. *ἄλλοτ' ὀποῖο· ὀποῦ τοῦ Κυρηναϊκοῦ λέγει. ἰστέον ὅτι οὗτος ὁ ὀπὸς συνεστηκὼς καὶ πεπηγώς ἐστιν, ὥσπερ τὸ κομμίδιον ἢ ὁ λίβανος ἢ ἡ μαστίχη ἢ εἴ τι τοιοῦτον. διὰ τοῦτο οὖν εἶπε τήξας, ὡσανεὶ ἀναλύσας.*

ἐν βάμματι τήξας· ἀντὶ τοῦ ἐν ὄξει διαλύσας· ὁ γὰρ Κυρηναϊκός ὀπὸς διαλύει τὴν φαρμακείαν· καὶ γὰρ ἐὰν πεπηγότι γάλακτι ἐπιχέῃ αὐτόν τις, διαλυθήσεται· ἔστι δὲ καὶ τὸ νίτρον διαλυτικὸν τοῦ γάλακτος.

370. *κονίλην, ἤτοι κονίαν ἢ θύμου καρπὸν ἢ τῆς εὐκνήμου βότρυν, ὅπερ κόριον καλοῦσι, μετ' οἴνου.*

371. *ἄλλοτ' ἀμύνει· ἄλλοτε δή, φησίν, ἀμύνει καὶ βότρυς εὐκνήμου, ὡσανεὶ τῆς καλὰς κνήμας ἐχούσης ἀμπέλου· κνήμας δὲ τὰ μεταξὺ τῶν κονδύλων ἢ τῶν κάμψεων λέγει· τοῦ βότρυος βρεχθέντος ἐν οἴνῳ. ἢ εὔκνημος εἶδος βοτάνης.*

373. *ἐν καί που ταμίσοιο· τοῦτο ἄξιον θαύματος, πῶς ἡ πιτύα διαλύει τὸ συνεστηκὸς ἐν τῇ κοιλίᾳ γάλα· ἀλλ' οὖν ἄλλο ἐπισυνίστησι, καὶ τὸ μελισσόφυλλον δέ, φησί, δίδου σὺν ὄξει. ἢ μελίσσης φυτὸν ἔφη τὸ μέλι. στυφόεν δὲ ποτὸν τὴν ἡδύοσμον ἔφη κατ' εὐφημισμόν.*

1-2 *ὅ ἐστι — ποθέν* G^2 R P, pro quibus G^1 habet tantum *τὸ γάλα* | 3 *τοῦ πνεύματος ἢ τοῦ γ.* G^1 | 4 *μέσσα* R *μὲν* om. R | 5 *ὄξευς* R *τουτέστι — γλυκέος* G^2 R P | 7 *ἤ ἔτι* G^1 | 8 *ἐνικνήθεο* R P | 10 *ὁ τοιοῦτος ὁ.* R *ἔστι καὶ* R P | 11 *κομίδιον* G^1, *κωμίδιον* P *εἴ* omm. R P | 12 *διαλύσας* voluit *Abel* | 13 *ἐνὶ β. οὖν τήξας* R P *ἀντὶ — διαλύσας* G^2 R P | 14 *ἐάν*] *ἄν* G^1 | 15 *διαχέῃ* G^1 | 16 *τοῦ γ. διαλυτικόν* P | 17 *τῆς*] *τοῦ* G^1 | 18 *μετ' οἴνου* om. P | 19 *δὲ* R P, omisso *φησίν* | 20 *ὡσανεί*] *ὡς ἀεὶ* R | 22 *ἢ εὔκνημος κτέ.* G^1 | 23 *θαύματος*] *ἐπιτάσεως* G^1, *γρ. θαύματος* add. mg. G^2 *ὅπως* R P | 24 *ἡ π. διαλύει*] *διαχεῖ ἡ π.* G^1 | 25 sq. *δίδου* (om. R) *σὺν ὄξει ἢ μελ. ποτῷ* (*ποτὸν* P)*· ἔφη τὸ μέλι* R P (in mg. m. rec. R: *ἀπὸ κοινοῦ τῷ ποτῷ*): correxi ex G^2 | 26-27 *ἢ μελίσσης κτέ.* G^2 R P | 26-27 *τὸν ἡδυόσμον* R P, *τὸ ἡδίοσμον* G^2, corr. *IGSchn.*

375. *Μίνθη δὲ Ἅιδου παλλακὴ οὕτω καλουμένη, ἣν διεσπάραξεν ἡ Περσεφόνη, ἐφ᾽ ᾗ τὴν ὁμώνυμον ποάν ἀνέδωκεν ὁ Ἅιδης.*

376. *τὸ δορύκνιον, ὃ καὶ μελισσόφυλλον καλεῖται, ἀγρία βοτάνη ἐστίν· αὕτη κοπτομένη ὀπὸν ἀποστάζει ὅμοιον γάλακτι* 5 *τὴν θέαν καὶ τὴν γεῦσιν καὶ τὴν ὀσμήν, ὅθεν καὶ δυσδιάκριτόν ἐστι τῷ πίνοντι πότερον γάλα ἐστὶν ἢ οὔ. Δημοφῶν δὲ ἐτυμολογῶν φησιν οὕτω κεκλῆσθαι διὰ τὸ δόρατι αὐτὸ ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν, Λυσίμαχος δὲ ὁ Ἱπποκράτειος διὰ τὸ ξύλον εἶναι κνίφης παρασκευαστικὸν τοῖς προσενεγκαμένοις.* 10

377. *ὠπὴ δέ, ἡ πρόσοψις, ἡ θέα, τὸ εἶδος. καὶ ἡ βρῶσις περὶ τοῖς στόμασιν ἀπεικάζεται γάλακτι.*

378. *λυγμοὶ δέ, αἱ τοῦ πνεύματος ἀναγωγαί.*

382. ⟨*τηνεσμῷ* G^2 R P⟩· *τῇ διατάσει· διαφέρει τηνεσμὸς καὶ δυσεντέριον, σύνεγγυς μέντοι ἀλλήλων· καὶ γάρ ἐστι πάθος,* 15 *ὃ καλεῖται χορδαψός, τηνεσμὸς δέ ἐστιν ὃν νῦν λέγομεν βιασμόν.*

⟨*ἄλλως* G^1⟩· *τοῖς τηνεσμώδεσι παρακολουθεῖ δυσεντερία, εἶτα ὁ χορδαψός, ὃν δέ φασι συναμματιζομένου τοῦ ἐντέρου, ὁτὲ προηγεῖται τηνεσμός ὁτὲ δυσεντερία τηνεσμῷ, περὶ* 20 *τὸ δυσεντέριον τάσις.*

387. *καί τε καὶ ὄρνιθος· καὶ τῆς ὄρνιθος τηκομένη ἡ σάρξ τῶν εὐτραφῶν στηθῶν ἤμυνε βρωθεῖσα. τὸ στῆθος, φησί, τῆς λιπαρᾶς ὄρνιθος βρωθὲν ὠφελεῖ. θωρήκων οὖν τῶν στηθίων σαρκῶν.* 25

389. *καὶ χυλὸς ἅλις· ἤτοι τοῦ στήθους τῆς ὄρνιθος ὁ χυλός, ἢ ἕτερον βοήθημα λέγει χυλὸν πτισάνης· ἄμεινον δὲ τὸ*

1-3 R P *παλακὴ* P *διεσπ.*] *διέφθειρεν* P | 4-6 usque ad *ὀσμήν* G^2 R P. v. *Animadv.* | 4 *δορίχνιον* P | 5 *βοτάνη ἐστὶν ἀγρία* G^2 | 8 *αὐτὸν* P | 10 *κνίσφης* (sic) R, *κνήφην* *Bentl.*, *κνίδης* *IGSchn.* | 12 *περὶ*] *παρὰ* R P *γάλακτι ἀπ.* G^1 quaedam ad v. 381 refert G^2 ex *Eutecn.* 239b 3-6 | 14 *τηνεσμῷ*] *τῇ διατάσει* G^1 | 15 *ἀλλήλοις* G^1 | 16 *καλεῖται*] *ἐστι* R P *ὅν*] *ὃ* R *βιασμός* R | 18 *παρακολουθοῦσι* B | 19 sq. *ὃν δέ φησι συν. ἐντέρου, ὁτὲ κτέ* G^1; *ἕτεροι δέ φασι συν. ἐντ., οὗ προηγεῖται τηνεσμός* R P, qui reliqua omm. | 20 *ὅτε* G^1 R P utroque loco, corr. *IGSchn.* | 20-21 *ὁτὲ δυσ. — τάσις* G^1 | 22 sch. ad v. 387 exstat in G^1 post sch. ad v. 389, sed ordinem corr. G^2 | 23 *εὐτρόφων* R P | 24 *τῆς λιπ. φησιν ὄρν.* R P *θωρήκων — σαρκῶν* R P | 27 *χυλὸν λέγει* R P *ἤτοι* post *λέγει* add. G^2 *πτισσάνης* P.

πρότερον· ἢ καὶ ὁ χυλὸς τῶν ὀστρέων, τουτέστιν ὁ ζωμὸς ῥοφηθεὶς ὠφέλησε.

390. ⟨ὅσσα τε πετρήεντος G[1]⟩· *καὶ ὅσα κατὰ τοὺς φυκιόεντας αἰγμούς, ὅ ἐστιν αἰγιαλούς, περιβόσκεται κνώδαλα κωβιοὶ καὶ τὰ τοιαῦτα.*

393. *κάλχης· εἶδος πορφυρᾶς, ἀφ' ἧς αἱ γυναῖκες κάλχιον βάπτουσι· καλχαίνειν γὰρ τὸ πορφυρεῖν. τὸν δὲ στρόμβον, ὃν ἔλεγον οἱ ἀρχαῖοι ὄστρακον, τῶν κογχυλίων, οἷς καὶ ἐχρῶντο ἀντὶ σάλπιγγος· καὶ Ἀπολλόδωρος* ⟨fgm. 207, FHG I 464⟩ *ἐν τοῖς Ὁμήρου οὕτως εἶπε* ⟨*Ξ* 413⟩·

στρόμβον δ' ὣς ἔσσευεν.

394. *αἰθήεντος δὲ ἐχίνου· ἐρυθροῦ καὶ πυρροῦ κατὰ τὴν σάρκα.*

396. *τήθη τε· τὰς ἀγρίας λεπάδας, ἃς ἡμεῖς ὠτία λέγομεν. ὁ δὲ Ἀριστοτέλης* ⟨h. a. I 6, 1⟩ *ὄστρεια, καὶ Ὅμηρος* ⟨*Π* 747⟩ *κοινῶς τὰ ὄστρεια. τὸ δὲ δὴν ἔσεται, ἤτοι πολὺ ἀπέσται, ἀντὶ τοῦ ἐκτὸς ἔσται· καὶ τὸ γεραινόμενον· αὐξανόμενον ἐν τοῖς βρύοις, ἢ νηχόμενον, ἢ ἀγρευόμενον, ἢ κοσμούμενον.*

398. *Φαρικοῦ· τὸ Φαρικὸν ὁμοίως τῶν θανασίμων ἐστίν· ἱστορεῖ δὲ Πραξαγόρας κληθῆναι αὐτὸ ἀπὸ Φαρικοῦ τινος Κρητὸς* ⟨*τοῦ ἐξευρόντος αὐτό* G[2] R P⟩. *ἄλλως· τοῦτό φασιν ἐν Φάροις τῆς Ἀρκαδίας εὑρεθῆναι· καλεῖται δὲ καὶ Μηδικόν. τινὲς δέ φασιν αὐτὸ ἐν Θεσσαλίᾳ πρῶτον εὑρεθῆναι ἐν Φεραῖς, ἄλλοι δὲ ἐν Λακεδαίμονι. Φάρις γοῦν ἐστι τῆς Λακωνικῆς* ⟨B 582⟩·

Φᾶριν τε Σπάρτην τε.

τοῦτο δὲ τὸ ποτὸν τῇ μὲν γεύσει ἔστιν ὅμοιον νάρδῳ, τοῦ δὲ πεπωκότος τὰς μὲν σιαγόνας ἐνέπλησε, τοῖς δὲ τοῦ

1 ἢ omm. R P, add. G[2] in G[1] | 6-7 *προκάλχιον βάφουσι* G[1] *καλχίνη δὲ τὸ πορφύριον* R *ὃν*] *ὃ* G[1] | 11 *στρόμβιον* P, *στρόμβειον* R | 12-13 R P, *αἰθ. πυρρώδους ἢ ἐρυθροῦ* (*κατὰ τὴν σ.* add. G[2]) G[1] *ἀλθήεντος* P ad v. 394 quaedam add. G[2] ex *Eutecn.* 239b 20-22 | 15 et 16 *ὄστρεα* G[1] utroque loco *καὶ Ὅ. — ὄστρεια* om. P | 16-17 *τὸ δὲ — ἔσται* exstat in G[1] ante *τήθη τε* (14) | 16 *ἔσσεται* R P *ἄπεστιν* R P | 17 *ἔσσεται* R P *καὶ τὸ* — 18 om. G[1] | 17-18 *γεραιόμενα, αὐξανόμενα ἐν τ. β. ἢ νηχόμενα ἢ ἀγρευόμενα ἢ κοσμούμενα* G[2] *αὐξανόμενον — ἀγρευόμενον* om. R | 20 *φαρικοῦ*] *φαρμακοῦ* (sic) R P | 21 *φησι* G[1] (sed *φασι* corr. G[2]) R P | 23 *πρῶτον ἐν Θ.* R P *φερραῖς* P | 24 et 25 *φάρης* et *φάρην* G[1] | 26-367, 2 G[2] R P | 26 *τοῦτον* R P *ὅμοιόν ἐστι* G[2].

σώματος πᾶσι μέλεσι τρόμον ἐπήνεγκε καὶ παραφροσύνην ἐν τοῖς τῆς ψυχῆς νοήμασιν ἐνέθηκεν.

399. *γευθμῷ· τῇ γεύσει. ἰσαιομένην· ὁμοίαν.*

400. *ἤνυσε δὲ σφαλερούς· ἐποίησε τρομεροὺς καὶ παράφρονας καὶ ἐν μιᾷ ἡμέρᾳ πολλάκις πρὸς θάνατον ἤγαγε.*

401. *ἀκτῖνι· ἀντὶ τοῦ ἡμέρᾳ· ἐν δὲ μονήρει ἀκτῖνι, τουτέστιν ἐν μιᾷ ἡμέρᾳ, ἀναιρεῖ τὸν ἄνδρα τὸν βαρύν, ἤτοι τὸν γενναῖον. ἰδίως δὲ μονήρει εἶπεν.*

402. *σταδίην δέ· σταθμῷ, ἢ ἀντὶ τοῦ σταθμηθεῖσαν· οὐκ εἶπε δὲ πόσον.*

403. *θυλακόεσσαν· τὴν ἐμφερῆ θυλάκῳ, σχηματίσας δὲ εἶπεν ἀπὸ τῆς ῥίζης, τοιαύτη γὰρ ἡ τῆς νάρδου ῥίζα, θυλακώδης τῷ εἴδει· διὸ καὶ παρά τινων θυλακίτης τῆς νάρδου ὀνομάζεται.*

404. *πρηόνες ἀλδαίνουσιν· αἱ ἐξοχαὶ αὐξάνουσι. Κέστρος, ποταμὸς Παμφυλίας ἢ Κιλικίας.*

405. *ἄλλοτε δὲ σμυρνεῖον· τὸ σμυρνεῖον παραπλήσιόν ἐστι νάρθηκι, τὸ δὲ σπέρμα πράσου ἔχει, ὀσμὴν δὲ σμύρνης.*

406. *τὸ δὲ ἶριδα· ὤφειλεν ἶριν, ὥσπερ ἔριν· εἴη δὲ καὶ ὀξυτόνως ἰρίς, ὥσπερ βολίς. ἢ ὥσπερ Κύπριδα.*

λειριόεν τε ⟨*κάρη* R P⟩· *τὴν κεφαλὴν τοῦ λειρίου· λείριον δέ φασι τὸ κρῖνον. τοῦτο δὲ λέγει ἐρίσαι τῇ Ἀφροδίτῃ περὶ εὐχροίας, τὴν δὲ ὀργισθεῖσαν ὅμοιον αἰδοίῳ ποιῆσαι ὄνου.*

1 *πώματος* R *μέλεσσι* R | 3 hoc sch. exhib. R post *τῷ εἴδει* (13), P post *Κιλικίας* (16) *ἰσαινομένην* P | 5 *πρὸς*] *εἰς* G[1] post *ἤγαγε* verba add. G[1] *ἰδίως δὲ μονήρει εἶπεν* (8) | 6-8 usque ad *γενναῖον* dedi ex G[1]. v. *Animadv.* | 7 *ἤτοι* recepi ex R P, *ἀντὶ τοῦ* G[1] | 8 *ἰδίως — εἶπεν* R P | 10 *πόσιν* G[1] R, *ποσὶ* P, corr. *Buss.* ad v. 402 quaedam add. G[2] ex *Eutecn.* 239b 30-34 | 11-12 *σχηματίσας — ῥίζης* G[2] (post *τῷ εἴδει*) R P | 12 *τοιαύτη γὰρ ἡ*] *αὕτη ἡ* R P *τῆς*] *τοῦ* R verba *διὸ καὶ κτέ.* exhibet tantum G[2] | 13 *θυλακίτης*] malim *θυλακῖτις* (cf. *Dioscor.* I 8), *θυλάκιον* edd. post hoc sch. rursus add. G[2] sch. ad v. 399 et postea sch. ad v. 400 hoc modo: *ἐποίησε σφαλεροὺς τρομ. καὶ παρ. μονήρει μιᾷ*: sequitur sch. ad v. 404. haec omnia leguntur in P post *Κύπριδα* (20) | 15-16 G[2] R P *κέτρος* P | 17 *σμύρνειον* codd., corr. *IGSchn.* lemma in G[1]: *σμύρνειον* et postea *τοῦτο παραπλήσιον κτέ.* *τὸ σμύρνειον* habet P post *νάρθηκι* | 19 *εἴη δὲ ἰρὶς ὀξ. βολίς ἢ ὡς κ.* G[1] | 21-22 *τὴν κεφαλὴν — κρῖνον*] *τὴν κεφ. τοῦ κρίνου* R P | 22 *τούτῳ* con. *IGSchn.* *λέγεται* G[1] | 22 *τὴν ἀφροδίτην* G[1] | 23 *εὐχροίας*] *χροιᾶς* R P *ὄνου* om. G[1].

410. *σκύλαιο ⟨κάρη⟩* R P · κελεύει ξυρᾶν τὴν κεφαλὴν αὐτοῦ καὶ καταπλάττειν πηγάνῳ καὶ ἀλεύρῳ κριθίνῳ καὶ ποτίζειν νάρδῳ ὡς πλεῖστον, καὶ ὄξους ἐσκευασμένου. βλάπτεσθαι δέ φησι τὸ πήγανον ὑπὸ τῆς κάμπης. ⟨ἄλλως G[1]⟩· ξύρησον, φησί, τὴν κεφαλὴν καὶ κατάπλασον ὠμηλύσει μετὰ πηγάνου· τὸ δὲ πήγανον ⟨ἐτυμολογεῖται G[1]⟩ παρὰ τὸ πήγνυσθαι τὴν γονήν· ἔστι γὰρ ἐπισχετικὸν τῆς συνουσίας, διὸ καὶ οἱ μυούμενοι αὐτῷ χρῶνται· ἢ διὰ τὸ ἐν πάγοις φύεσθαι τὸ πήγανον· ἄλλως· σκύλαιο, φησί, τὴν κεφαλὴν τοῦ πηγάνου καὶ ἔπαρον αὐτοῦ τὴν λάχνην, ἤγουν τὸ ἄνθος, κόψας αὐτὸ κάτωθεν εὐήκει ξυρῷ, ὅ ἐστιν εὐακονήτῳ, καὶ ἕψησον ἄλευρα κριθῶν νεάλεστα καὶ φυλλάδα πηγάνου ἐν ὄξει καὶ ποίησον τροχίσκους καὶ περὶ τὴν κεφαλὴν τοῦ πάσχοντος κατάπλαττε.

415. *μὴ μὲν ὑοσκυάμου*· μηδεὶς ἀπείρως ἔχων τοῦ ὑοσκυάμου τὴν νηδὺν κορέσκοι, οἷα ποιοῦσιν οἱ σφαλλόμενοι ταῖς φρεσίν. ἰδίως δὲ εἴρηκε τὸ αἰδρήεντα ἀντὶ τοῦ αἰδρηέντως. λέγει οὖν ὅτι, ἐάν τις ἀπείρως προσενέγκῃ τὸν ὑοσκύαμον περὶ τὰ ἁπαλὰ λάχανα σὺν τοῖς σπέρμασιν ἁπαλοῖς οὖσιν, ἢ καὶ ὅταν τὰ παιδία προσενέγκηται, ποίει παραφυλάττεσθαι.

416. *παρασφαλέες δὲ σπέρχονται*· ἀντὶ τοῦ οἱ ἐσφαλμένοι τρέχουσι καὶ σπεύδουσι.

417. *ἠὲ νέον σπείρημα*· σπείρημα λέγει τὸ ἄκρον τῆς κόμης, ὅ ἐστιν ἁπαλόν· ὃ δὴ πολλάκις συμβαίνει τοῖς ἤδη δυναμένοις παισὶ χωρὶς τῶν τιθήνων πορεύεσθαι καὶ ἐσθίειν.

ἄλλως· ἠὲ νέον σπείρημα· οἱ ἔτι τὰς τρίχας ἀπὸ τῆς σπορᾶς φθεροῦντες. σπείρημα γὰρ τὸ σπέρμα. καὶ *ἀμφικάρηνα κομάων*, ἤγουν τὰ περὶ τὴν κεφαλὴν τῶν κομῶν. γράφεται δὲ τὸ σπέρχονται καὶ τεύχονται, ἀντὶ τοῦ ποιοῦσιν. ὁ

1 *ξηρᾶν* P | 2-3 *ποτίζων* P *ὡς πλ.* om. G[1], add. G[2] *ἐσκευασμένου* ex *-μένῳ* P, *ἐσκευασμένος* G[1] | 4 *πηγάνων* G[1] | 5 *ὠμῆ λύση* R, *ὁμῆ λύσει* P, *ἃ μὴ λύσει* G[1] (*ἴδ....... λύ...* adn. mg. G[2]), *ὠμηλύσει* *Vári* | 7 *ἔστι δὲ καὶ* R P | 9 *σκύλλαιο* R P | 10 *τὴν ἄχην γοῦν τὸ ἄ.* P *καὶ κόψας* R P | 11 *ξηρῶ* P *καὶ* ante *ἕψησον* omm. R P | 12 inter *ὄξει* et *καὶ* quaedam in G[1] a G[2] abrasa sunt | 14 *ὑοσκυάμῳ* R P | 16 *τὸ*] *τὰ* P *λέγει δὲ* G[1] | 17 *προσενέγκοι* G[1] P | 19 *ποιεῖ* | 20-21 G[2] R P *ἔρχονται* P in lemmate | 22 lemma om. G[1] *ἠὲ*] *ἢ* P | 24 *καὶ* om. R post *ἐσθίειν* add. G[1]: *γράφεται καὶ τεύχονται ἀντὶ τοῦ ποιοῦσιν* | 25 *ἠὲ*] *δὲ* R, om. P | 26-369, 7 *σπείρημα — συρμόν* G[2] R P | 26-27 *ἀμφὶ κάρηνα* codd. | 27 *κομόων* P.

δὲ νοῦς τοιοῦτος· τὰ παιδία τὰ νεωστὶ ἐκφυγόντα τὸ ἐπὶ γαστέρα σύρεσθαι καὶ τετραποδίζειν καὶ ἀπειπάμενα τῶν τριχῶν τὸ ἀμφικάρηνον, τουτέστιν τὰ νεωστὶ κουρευθέντα, καὶ ἀρξάμενα περιπατεῖν ἄνευ τῆς τροφοῦ, λέγει δὲ τὰ ὄντα περὶ τὰ δ ἔτη καὶ τὰ ε. ταῦτα γὰρ ἐπιτυγχάνοντα τῷ ὑοσκυάμῳ ἐσθίουσιν 5 *αὐτὸν καὶ βλάπτονται.* **ὀλοὴν γὰρ ἑρπυδόνα γυίων·** *τὸν τετραποδισμὸν καὶ τὸν συρμόν. ἄνις δὲ ἀντὶ τοῦ ἄνευ.*

418. **κοῦροι ἀπειπάμενοι·** *ὅπερ οἱ παῖδες οἱ ἄρτι ἐπισύρεσθαι παυσάμενοι καὶ τὰς τροφοὺς ἀπαρνησάμενοι ποιοῦσιν ἀγνοίᾳ, καὶ ἐμβάλλοντες εἰς τὰ χαλινὰ αὐτῶν, ὅπερ ἂν αὐτοῖς* 10 *ὑποπέσηται ἢ εὕρωσιν.*

420. **ἀφροσύνῃ·** *ἀφροσύνῃ τρώγωσι τοὺς κακανθήσαντας κλάδους.*

421. **οἷα νέον βρωτῆρας·** *οἷα γὰρ οἱ νεωστὶ ἐν τοῖς γναθμοῖς τοὺς βρωτῆρας ὀδόντας ὑποφαίνοντες.* **τότε κνηθμός·** 15 *τοιοῦτος, φησί, κνηθμὸς ἐν τοῖς φαγοῦσιν ὑοσκύαμον, οἷος ἐν τοῖς παισίν, ὅταν ἀποβάλλωσι τοὺς ὀδόντας.*

424. **ἄλλοτε βουκέραος·** *βουκέραος εἶδός ἐστι βοτάνης, τοῦτο δὲ καμπύλον ἐστὶ καθάπερ βοὸς κέρας. διὸ καὶ τῆς ὀνομασίας ταύτης ἔτυχε.* **σιτηγόνου·** *τοῦ εἰς σιτισμὸν καὶ τροφὴν* 20 *γινομένου. γράφεται καὶ* **χιληγόνου. ὅρρα κεραίας·** *ὅπερ βούκερας κεραίας τινὰς εὐκαμπεῖς κάτωθεν ὑπὸ τοῖς ὑπηνεμίοις φύλλοις αὔξει.*

ἄλλως· σιτηγόνου· *γράφεται καὶ* **κεβληγόνου,** *ὅ ἐστι τοῦ ἐν τῇ κεφαλῇ ἔχοντος τὸν γόνον. κεβλὴ γὰρ ἡ κεφαλὴ* 25 *ἐν συγκοπῇ τοῦ α καὶ τροπῇ τοῦ φ εἰς β.*

426. **ἀτμενίῳ** *δέ, τῷ ἐλαίῳ, τῷ μετὰ κακοπαθείας γινομένῳ· ἀτμένες γὰρ οἱ δοῦλοι, οἷς ἕπεται τὸ κακοπαθεῖν. μέγα,*

1 *δὲ* om. G² | 2 *σείρεσθαι* P   *ἀπειπάμεναι* R, -οι P | 4 *τροφοῦ*] *τιθήνης* R   *δὲ* om. G² | 6 *ἑρπηδόνα* R | 6-7 *τόν τε ποδισμὸν* R P, sed in P *τετραποδισμὸν* restituit m. rec. | 7 *ἄνις δὲ ἀντὶ τοῦ* omm. G¹ G², habent R P, omisso tamen *ἄνευ*, quod add. *IGSchn.* | 8-11 G¹ | 10 *αὐτῶν Buss.*, *αὐτῶν* codd. | 12-13 G² R P; lemma add. *Vári* | 14-15 usque ad *ὑποφαίνοντες* G² R P; eadem omisso lemmate G¹ in glossa interl. | 16 *φαγοῦσι τὸν ὑ.* P   *ὑοσκίαμον* G² | 17 *ὅταν — ὀδόντας* om. G¹   *ἀποβάλλουσι* G² | 20 *σιτησμὸν* R | 21 *χιλογόνου* P, *λιχογόνου* R   *ὥσπερ ὁ βουκέραος* R P | 22 *ἀκαμπεῖς* R P | 24-26 G² R P | 27-28 *παραγινομένῳ* P.

φησί, ὄνειάρ ἐστι τὸ βούκερας, ὅτε ἐμπλεύσῃ καὶ βραχῇ τῷ ἀτμενίῳ ἐλαίῳ.

428. *ὠμόβρωτον· τουτέστιν ὠμὰ τὰ φύλλα διαμασήσασθαι καὶ τὸν χυλὸν αὐτῶν καταπίνειν.*

429. *κίχορα δὲ καὶ καρδαμίδας, εἴδη λαχάνων· καὶ γηθυλλίδας, εἶδος κρομύων, ἤτοι τὰς κεφαλὰς ἢ τὰς ῥίζας· ἢ τὰ ὑπ' ἐνίων λεγόμενα ἀγριόφυτα.*

432. *εὔαγλις· καλὰς ἀγλίθας ἔχουσα, ἀγλῖθες οἱ κόκκοι, ἐξ ὧν αἱ κεφαλαὶ τῶν σκορόδων σύγκεινται, ἅπερ σκελίδια ἡ συνήθειά φησι. τὰ δὲ κίχορα οἱ Ἀττικοὶ κιχόριά φασι, ἡμεῖς δὲ γιγγικίδια.*

433. *μήκωνος κεβληγόνου· τῆς ἐν τῇ κεφαλῇ ἐχούσης τὸν γόνον, ὅ ἐστι τὸ σπέρμα· συγγενές γὰρ τὸ β τῷ φ. καὶ Καλλίμαχος* ⟨fgm. 140⟩·

ἀμφί τε κέβλην
εἰρμένος ἀγλίθων οὖλον ἔχει στέφανον.

τινὲς δὲ τῆς κατὰ τὴν κεφαλὴν κομώσης μήκωνος. βοτάνη γάρ ἐστιν ἡ μήκων, ἐν τῇ κεφαλῇ τὸν γόνον ἔχουσα. καὶ Εὐφορίων περὶ τῆς Ἀθηνᾶς ⟨fgm. 159⟩·

κεβληγόνου Ἀτρυτώνης.

μήκων δὲ εἴρηται παρὰ τὸ μὴ κονεῖν, τουτέστι μὴ ἐνεργεῖν· κονεῖν γὰρ λέγεται τὸ ἐνεργεῖν, κωλυτικὸν δὲ τοῦτο τῶν κατὰ φύσιν ἐνεργειῶν.

434. *καθυπνέας· ὑπνοῦντας· ἄγει γὰρ τὸ μηκώνειον εἰς ὕπνον· τὴν μήκωνα δὲ ἐτυμολογοῦσί τινες τὴν μὴ κονεῖν μηδὲ ἐνεργεῖν ποιοῦσαν,* ⟨*ὡς εἴρηται* G² R P⟩.

1 *ἐμπλεύσει* G¹ | 3-4 *δαμασσήσασθαι* R | 4 *καταπιεῖν* G¹ | 5 *καρδαμίδα* P | 6 *γηθυλλίδες* R P *κρομμύων* R P *ἤτοι — ἢ* G² R P | 7 *ἀγριόφυλλα* G¹ | 8 G¹: *ἀγλῖθες δέ εἰσιν αἱ σκελίδες ἐξ ὧν* (*ἐξ ὧν* add. G²) *αἱ κεφ. τ. σκ. σύγκ., προπήλιδες* (*τροπήλιδες* corr. *IGSchn.* ex Aristoph. Acharn. 813) *δὲ αἱ τῶν σκορόδων δέσμαι. κώδεια· ἡ κεφαλή. ἀγλῖθες δὲ οἱ κόκκοι, ἐξ ὧν αἱ κ. τῶν σκ. συνίστανται.* Scholl. vulgg. haec insuper add.: *γαθυλλὶς τὸ νέον κρόμμυον* | 12 *μήκωνος* om. G¹ *τῇ* om. P | 13 *τὸν γ. ἐχούσης* R P | 15 *κεβλὴν* R P | 16 *εἰργμένος* R P *καὶ γλίθων* R | 17 *μήκωνος* om. R | 18 *ἡ μήκων*] *ἡμῶν* R | 18 *καὶ Εὐφ.*-20 G¹ *εὐφορίδης* G¹, corr. *IGSchn.* | 21-23 G² R P *μὴ* alterum om. P | 22 *δὲ*] *γὰρ* P | 25 *ἐτυμ. δὲ τὴν μήκ. ἤτοι τὴν μὴ κ.* R P; *ἤτοι* ante *τὴν μὴ* add. G² in G¹ *ἀκονεῖν* R P *μηδὲ ἐνεργεῖν*] malim *ἤτοι μὴ ἐν.* (cf. Sch. ad v. 433, 21, sq.) *πιοῦσαν* R P.

435. *οὐκ ἀναπίτναται ὄσσε*· ἀντὶ τοῦ οὐκ ἀνοίγονται οἱ ὀφθαλμοί.

436. *καὶ δεδήεν* ἀντὶ τοῦ δέδεται, δεσμεῖται.

437. *ὀδμήεις*· ὀζώδης, ὀδμὴν ἔχων τὴν ἀπὸ τοῦ ὀποῦ· φέρεται γὰρ ἱδρὼς ψυχομένου τοῦ σώματος, τὸ δὲ πρόσωπον 5 ὠχρὸν γίνεται καὶ τὰ χείλη ἐμπίπραται.

439. *ἐκ δέ τε παῦρον*· ἐκ δὲ τοῦ αὐχένος ὀλίγον ἆσθμα ἑλκόμενον ψυχρὸν διέρχεται, καὶ πάρεσις τῶν σιαγόνων γίνεται.

441. *πολλάκι δ' ἠὲ πελιδνός*· πολλάκις δὲ καὶ οἱ ὄνυχες πελιδνοὶ γινόμενοι, ὡς ἐντὸς τοῦ αἵματος χωροῦντος, καὶ 10 ἡ ῥὶς στρεβλουμένη καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γινόμενοι θάνατον ἀπαγγέλλουσι.

443. *μέλοιο δέ*, ἐπιμελοῦ τῆς θεραπείας καὶ βοηθείας γλυκὺν θερμὸν οἶνον διδοὺς αὐτῷ.

444. *κεκαφηότα πιμπλάς*· ἀντὶ τοῦ ὀλιγοψυχοῦντα 15 πληρῶν.

445. *καὶ τινθαλέῳ*· θερμῷ, διαπύρῳ. *ἔργα δὲ μελίσσης*· ἀντὶ τοῦ μελίσσης μέλι· ἀντὶ τοῦ σύμμισγε καὶ μέλι μετὰ θερμοῦ οἴνου.

446. *Ὑμήττιδος*· Ἀττικοῦ, ἀπὸ Ὑμηττοῦ τοῦ ὄρους Ἀττι- 20 κῆς. *αἵ τ' ἀπὸ μόσχου*· αἱ μέλισσαι, ὥς φησιν αὐτός ⟨Ther. 741⟩·

ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.

448. *κατὰ δρυός*· παλαιάν τινα μελιτουργίαν ἐκτίθεται. μήπω γὰρ ἡμερούμεναι αἱ μέλισσαι, ἀλλ' ἔτι ἄγριαι οὖσαι ἐν τοῖς κοιλώμασι τῶν δρυῶν τὰ κηρία συνετίθεσαν· καὶ νῦν ἔτι 25 ἐστὶν ὅτε τοῦτο ποιοῦσι. τὸ δὲ *ἐκτίσαντο* ἀντὶ τοῦ κατεσκεύσαν.

ἔνθα δὲ καὶ κοίλοιο· τοῦτο καὶ Ἡσίοδος ⟨op. et d. 233⟩·

ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας· 30
καὶ Φωκυλίδης ⟨171⟩·

1-3 G[2] R P | 4-6 usque ad *ὠχρὸν* om. R *ὀσμὴν* P | 4 *ὀποῦ*] *ἵππου* P | 6 *ἐμπίπρανται* P | 9 lemma omm. R P | 10 *ὡς* om. G[1] *χωροῦντες* G[1] | 12 ad v. 442 sch. est in G[1]: *κοιλωπέες· τουτέστι κοῖλοι ὀφθαλμοὶ γινόμενοι* | 13-19 G[3] R P *μέλλοιο* P | 15 *πιμπλᾶς* R P | 18 *ἀντὶ τοῦ — μέλι* omm. R P *σύμμιγε* R P | 25 *ἐντίθεται* P | 26 *τὸ δὲ — κατασκεύασαν* G[1] | 28 *καὶ* in lemmate om. P | 30 *μέση* G[1] | 31 *φωκυλλίδης* R P.

κάμνει δ' ἠερόφοιτος ἀριστοπόνος τε μέλισσα
ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν,
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἐνδόθι σίμβλων,
σμήνεσι μυριότρητα κατ' ἄγγεα κηροδομοῦσα.

5 *φησὶ δὲ ὅτι ἐν τῷ Ὑμηττῷ πρῶτον ἐγένοντο μέλισσαι. συνομηρέες· συνερχόμεναι βοτρυδόν.*

450. *πολυωπέας· πολλὰς ὀπὰς ἐχούσας· τοιαῦτα γὰρ τὰ κήρια. ὄμπας· οἱ μέλιτι δεδευμένοι πυροί. καὶ Καλλίμαχος* ⟨fgm. 268⟩·

10 *ἐν δὲ θεοῖσιν ἐπὶ φλογὶ καιέμεν ὄμπας.*

τούτους γὰρ Δήμητρι ἔθυον· Νίκανδρος δὲ εἴρηκεν ἰδίως τὰ κηρία ὄμπας.

451. *βοσκόμεναι θύμα· ἀντὶ τοῦ διερχόμεναι τὰ θύμα τοῖς ποσίν. ἀνθεμόεσσαν ἐρείκην· γράφεται καὶ ἠνεμόεσ-*
15 *σαν· ἐρείκη δέ ἐστι δένδρον, οὗ τὰ φύλλα οἱ μυούμενοι ὑποστρωννύουσι διὰ τὸ ψυκτικὰ εἶναι καὶ ἁγνά. ἔστι γὰρ τὸ ἁγνεύειν καὶ χωρὶς γονῆς μένειν.*

452. *δήποτε δ' ἢ ῥοδέοιο· ἡ σύνταξις οὕτως· ἢ καὶ ἰρινέου μαλλὸν βαθὺν κορέσκων ἕλκοις, ἀντὶ τοῦ ἕλκε, τὸν ἰόν.*

20 453. *ὀχλίζων· διὰ τὸ κλείειν τὸ στόμα τῇ μύσει συνδε-*

1 *ἀριστόπονος* G[1] | 2 *χηραμὸν* cod. Ambr. *H 22 sup.*, qui Pseudophoc. continet, *χιράδος* R P, *χοράδος* L, *χοιράδος* voluit *Abel* | 3 *σίμβλα* L | 4 pro h. v., quod exhibet tantum G[1], habent R P: *καὶ τὰ ἑξῆς* *μυριότητα* G[1], corr. *IGSchn.* ex Phoc. codd. *ἄγγεα Ruhnkenius*, *ἄνθεα* G[1] ad v. 448 quaedam add. G[2] ex *Eutecn.* 240a 37-42 | 5 *ὅτι* om. G[1] | 5-6 *συνομηρέες — βοτρυδόν* G[2] R P *συνομαρέες* P | 7 *ἐχούσας Ald.*, *ἔχοντας* G[1], *ἔχοντα* R P | 7-11 *τὰ κήρια — Δήμητρι* om. R | 8 *ὄμπαι* G[1], *ὄμπναι* P, *ὄμπνας* R *πυρῷ* (ex *κηρῷ*) P | 10 *θεοῖσι φλογί* P | 11 *τούτους — ἔθυον* G[2] *ἰδίως εἴρηκε* R P | 12 *ὄμπνας* P | 13-14 usque ad *ποσί* G[2] R P | 13 *τὰ*] *τὸ* R P | 17 *καὶ*] fortasse *ἢ* scribendum est | 18 sqq. Pro scholiis ad v. 452 et 453, quae monente *IGSchn.* dedi ex G[1] (verba tantum *ἀντὶ τοῦ πιέζοις* in sch. ad v. 453 habet G[2], glossam, ut patet, e margine irreptam), haec habent R P: *τοῦ στόματος φησὶ μεμυκότος βιάζειν διανόγειν αὐτό, διοχλίζων* (-*ειν* R) *τὸν κυνόδοντα καὶ ἰρινέου μᾶλλον* (sic) *βαθὺν κορέσκων. ἕλκοιο* P (*ἕλκοις* R)· *ἀντὶ τοῦ ἕλκε τὸν μετὰ τοῦ ἐρίου τὸ ῥόδιον ἔλαιον ἐπιβάλλων. εὔτριχι* (*γὰρ* inserit P) *λίνῳ· τῷ ἁπαλῷ καὶ εὐτρίχῳ ἐρίῳ. ἄλλως· εἰ καὶ* (*καὶ εἰ* R) *μύουσιν οἱ πάσχοντες τοὺς συμμεμυκότας χαλινοὺς αὐτῶν ἀνοίγειν ἐνθλίβοις τῷ ἐρίῳ βοηθείας χάριν. ἐνθλίβοις δὲ ἀντὶ τοῦ πιέζοις.* | 19 *μάλλον* cod., corr. *IGSchn.*

δεμένον τοῖς χαλινοῖς, διανοίγων αὐτὸ ἐνθλίβοις, ἀντὶ τοῦ πιέζοις, τῷ ἐρίῳ τὸ ῥόδινον ἢ καὶ ἰρίνεον ἔλαιον. **τοτ᾽ ἠμύουσιν**· ἀντὶ τοῦ ὅτε ἠμύουσιν οἱ πάσχοντες τοὺς συμμεμυκότας χαλινοὺς αὐτῶν, ἐνθλίβοις τῷ ἐρίῳ βοηθείας χάριν.

455. **ἰρινέου**· τὸ κύπρινον ἔλαιον, ἔστι δὲ θερμαντικόν. 5 καὶ **μορόεντος** ἀντὶ τοῦ μοροέσσης· καὶ Ὅμηρος ⟨σ 298⟩·

τρίγληνα μορόεντα.

456. **διὰ ῥέθος ἔγρεο**· κατὰ τὸ πρόσωπον τύπτων καὶ πλήσσων ἔγειρε.

457. **κνώσσοντα παλάσσων**· ἀντὶ τοῦ κοιμώμενον κινῶν 10 καὶ σείων ἀνάστησον, ὅπως κεφαλαλγῶν τὸν ὀλέθριον ὕπνον ἀποβάλῃ, καὶ τὸν κακὸν πόνον ἐξεμέσῃ βοηθούμενος.

458. ⟨**ὀλοὸν διὰ** G[1]⟩ **κῶμα**· τὴν μεταξὺ ὕπνου καὶ ἐγρηγόρσεως καταφορὰν κῶμα καλοῦσιν ⟨οἷον κοίμημα G[1]⟩, ὅθεν καὶ κωμάζειν τὸ ἐπιφοιτᾶν τοῖς κοιμωμένοις. 15

459. **τῆμος δ᾽ ἐξερύγῃσιν**· ἀντὶ τοῦ τηνικαῦτα δὲ ἐξεμέσῃ ἀποσοβῶν τὸ κακὸν ἄλγος.

460. **σπεῖρα δ᾽ ἐνὶ χλοερῷ**· ἤγουν ῥάκη βρέχων ἐν οἰνελαίῳ τρῖβε καὶ ἀναθέρμαινε.

462. **ἐν δροίτῃ**· ἐν πυέλῳ· κελεύει δὲ αὐτὸν ἐν πυέλῳ 20 ἤγουν ἐν σκάφῃ θερμοῦ ὕδατος καθεῖναι καὶ καταντλᾶν τῷ θερμῷ ἵνα τὸ συντεθραμμένον δέρμα διαλυθῇ. **ἐμβάλλεο σάρκα**· τὴν σάρκα αὐτοῦ τοῦ πάσχοντος, ἤγουν αὐτόν.

463. κυρίως δὲ **ἐπαιονάασθαί** ἐστι τὸ ἐπ᾽ ἠιόνος λούεσθαι, νῦν δὲ τὸ ἐπὶ τινθαλέοις ἤγουν θερμοῖς λοετροῖς θερα- 25 πεύεσθαι.

464. **αἷμ᾽ ἀναλυόμενος**· ἀντὶ τοῦ τὸ θρομβῶσαν αἷμα τοῦ παθόντος διὰ τὴν ἐκ τοῦ δηλητηρίου ψύξιν ἀναλύων τῇ θερμῇ τῶν λοετρῶν. **τετανόν τ᾽ ἐσκληκότα ῥινόν**· τὸ κατεσκληκὸς δέρμα φησίν. 30

2 *ἰρινέον* G[1] | 5 *τοῦ κυπρίου ἐλαίου, ὅ ἐστι θ.* R P *κύπρινον* (superscr. *κύπρειον*) G[1] | 6 *καὶ μορ.* — 7 R P | 8-9 G[2]RP | 9 *ἔγειρε* om. R | 10-12 R P | 12 *ἀποβάλλῃ* R | 13 *τὴν* G[2] corr. ex *τὸ* *τὸν* R | 14 *καλοῦσιν* om. G[1] | 16 *ἐξερύγῃ* P *δὲ* omm. R P | 18 *ἀλλὰ καὶ σπεῖρα* est lemma in R P | 19 *ἀναθέρμηνε* P | 20 *ἄλλοτε δ᾽ ἐν δρ.* est lemma in R P *αὐτὸν πυέλῳ* G[1] | 21 *σκάφει* R, *σκύφῳ* G[1] | 22 *ἐμβ. σάρκα· τοῦ πάσχ. δηλονότι· ἄγε ἐκεῖνον αὐτόν* R P | 24-26 G[2]RP *κυρίως δὲ* om. R | 25 *θερμοῖς ὕδασιν*, omisso *θεραπεύεσθαι*, R P | 27-29 usque ad *λοετρῶν* add. etiam G[2] in mg. | 28 *ἐκ δηλητηρίου* R | 29 *λουτρῶν* G[1].

465. *λαγοῖο κακοφθορέος*· τοῦ θαλασσίου λαγωοῦ καὶ Ἱππῶναξ <fgm. 123 Bgk.> μνημονεύει. ἔστι δὲ εἶδος ἰχθύος, τὴν μὲν ἀσθένειαν ἀφρῷ παραπλήσιος, τὴν δὲ ἐπιφάνειαν μέλας, θανάσιμον δὲ βρωθείς. κακοφθορέος δὲ κακῶς φθεί-
5 ροντος.

466. *πολυστείου* ἀντὶ τοῦ τῆς πολυψήφου· στεῖαι γὰρ αἱ ψῆφοι τῆς θαλάσσης.

467. *τοῦ δ' ἤτοι*· τούτου ἡ μὲν ὀδμὴ παραπλησία ταῖς τῶν ἰχθύων λεπίσι, καὶ τῷ ἀποπλύματι αὐτῶν, ἡ δὲ γεῦσις
10 ἰχθύων σεσηπότων.

468. *νεπόδων δέ*, ἰχθύων· καὶ *σαπρυνθέντων* ἀντὶ τοῦ σαπρωθέντων.

469. *ὁπόταν λοπὶς αὐξίδα*· ἢ ὅταν ἡ λοπὶς τὴν ὅλην αὐξίδα μολύνῃ, ἐξ οὗ δηλοῖ τὸ φθείρῃ. αὐξὶς εἶδος ἰχθύος
15 ὅμοιον θύννῳ. *αὐξίδα χραίνῃ*· τουτέστι τὸ σῶμα φθείρῃ καὶ ἀφανίζῃ· αὐξὶς δὲ τὸ σῶμα, μετὰ γὰρ τὸ ἀγρευθῆναι οἱονδήτινα ἰχθὺν εἰ μείνῃ ἐπ' αὐτῷ τὸ λέπος αὐτοῦ, ἀφανίζει αὐτὸν καὶ ὄζειν ποιεῖ.

470. *ὃς δή τοι ῥυπόεις*· ὁ λαγωός, φησί, νεωστὶ γεν-
20 νηθεὶς ὅμοιός ἐστι ταῖς θριξίν, ἤγουν κατὰ τὰς τρίχας τῆς τευθίδος. ἢ *ἄτε τεύθου*. τουτέστι τοῦ ἄρρενος.

ὑπ' ὀστλίγγεσσιν· ἐπεὶ γληνώδης ὑπάρχει· ὄστλιγγας δὲ λέγει τοὺς βοστρύχους ὅ ἐστι τὰς κόμας τῶν τευθίδων καὶ σηπίων, ἐν αἷς ἄρτι γεννώμενοι οἱ θαλάσσιοι λαγωοὶ διατρί-
25 βουσιν.

1-10 dedi ex G[1]; eadem fere, sed minus integra, praebent R P: *λαγοῖο κακοφθορέος* (κακοφθορέοντος P), τοῦ θ. λ., ὅς ἐστιν εἶδος ἰχθύος, καὶ Ἱππ. μνημ. ἔστι δὲ καὶ (om. R) μέλας τὴν ἐπίφ., θ. δὲ βρ., οὗ ἡ μὴν ὀσμὴ ταῖς τῶν ἰχθύων λεπίσι καὶ τῷ ἀποπλ. αὐτῶν ἔοικεν, ἡ δὲ γεῦσις ἰχ. σεσηπ. γεύσει ὁμοία ἐστί. *κακοφθορέος* δὲ κακῶς φθείροντος, καὶ *πολυστείου ἅλμης*, ἤγουν τῆς πολυψήφου θαλάσσης· στεῖαι γὰρ αἱ ψ. τῆς θ. | 2 ἱππώναξ codd. | 4 κακοφθορέος — φθείροντος add. G[2] post σεσηπότων (10) | 11-12 R P | 13 ὁπότ' ἂν R λωπὶς P | 14-15 ἐξ' οὗ — χραίνῃ G[1] | 15-16 τουτέστι — ἀφανίζῃ G[1] (om. φθείρῃ καὶ) G[2] P (ἀφανίζοι) | 16 δὲ] γὰρ R P καὶ γὰρ μετὰ τὸ ἀ. R P | 16-17 οἱονδήτινα G[1], οἱονδήποτε P, οἷον δή ποτε R | 17 μείνοι G[1], μένοι *IGSchn.* τὸ λ. αὐτοῦ om. P | 18 ὄζει omisso ποιεῖ G[1] | 19 λαγωγοὸς (sic) P φησί omm. R P | 22 ὑποστλίγγεσσι G[1], ὑπ' ὀστλίγεσσιν P ἐπειδὴ R P ὄστλιγας P | 23 λέγουσι G[1] βόστρυχας R | 23-24 καὶ σηπίων om. G[1].

473. χολῇ δέ τῷ μέλανι. ἀγρώστορος ὁρμήν· ἐπειδὰν γὰρ ἴδῃ τὸν ἁλιέα ἐκβάλλει τὸ μέλαν εἰς τὴν θάλασσαν, ἵνα ἀθεώρητος ᾖ· τοῖς δὲ πίνουσιν ἀκολουθεῖ σκότωσις χολώδης, ἰκτερώδης.

474. τῶν ἤτοι ζοφόεις· τουτέστιν τῶν φαγόντων τὸν λαγωόν. 5

475. περιστολάδην· ἀντὶ τοῦ, οὐκ ἀθρόαι, ἀλλ᾽ οἷον κατὰ σταλαγμὸν ἐλαττοῦνται. ὁ δὲ λόγος· αἱ δὲ σάρκες οἷον κατὰ σταλαγμὸν ἐκ τοῦ κατ᾽ ὀλίγον τηκόμεναι καὶ καταστάζουσαι φθείρονται, ὁ δὲ τροφὴν οὐ προσίεται. 10

476. ἄλλοτε ῥινός· ἀρσενικῶς εἶπεν ὁ ῥινός, τουτέστι τὸ δέρμα, καὶ τοῦ δέρματος κατὰ τὴν ἐπιφάνειαν γίνεται ἔπαρμα, μάλιστα δὲ περὶ τὰ σφυρά. περὶ δὲ τὰ τοῦ προσώπου μῆλα γίνεται οἴδημα ἐν ἐρυθήματι.

478. κυλοιδιόωντος δέ, τοὺς ὀφθαλμοὺς διοιδοῦντος καὶ κοίλους ἔχοντος. 15

479. δὴ γὰρ ἐφωμάρτησεν· ἐπακολουθεῖ γὰρ καὶ ὀλιγωτέρα ἔκκρισις τῶν οὔρων, ποτὲ μὲν πορφυρά, ποτὲ δὲ αἱματώδης διὰ τὸ ξύεσθαι τὰ ἐντός.

481. ⟨πᾶς δὲ παρὰ δρακέεσσι G¹⟩· πᾶς δὲ ἔλλοψ, τουτέστιν ἰχθύς, φανεὶς τοῖς ὀφθαλμοῖς αὐτοῦ μισεῖται· τουτέστιν, ἐὰν ἴδῃ ἰχθύν, ἀποστρέφεται· τοῦτο γὰρ σημαίνει τὸ ἐμυδάξατο, ⟨ἀντὶ τοῦ ἐμυσάξατο G¹⟩, ἀπεμυκτήρισε, παρῃτήσατο τοσοῦτον, ὡς καὶ ναυτιάσαι καὶ ἐμέσαι ὑπὸ τῆς ἀηδίας βιάζεσθαι. 20 25

483. τῷ μὲν φοινήεσσαν· γράφεται τῷ μὲν Φωκήεσσαν, ἀντὶ τοῦ Φωκικήν· ἡ γὰρ τοῦ ἑλλεβόρου πόσις

1 χολῇ — μέλανι R P ἀγρωστῆρος P ὁρμήν omm. R P | 4 τοῦτο γάρ φησιν add. R P post ἰκτερώδης ad Sch. ad v. 473 haec add. G² (ex recensione *Abelii*): ....ν...μμ.. ὁ ἐξ αὐτῆς τῆς σηπίας χεόμενος θόλος, δι᾽ οὗ θολοῖ τὸ κῦμα, ὅτε νοήσῃ τὴν ὁρμὴν τῶν ἀγρευτήρων | 5-6 G² R P ζοφώδεις P | 7 περιστολάδην] in R supra ο est α superscr. m. rec. | 8 κατὰ σταλαγμὸν] καταστολάδην antea fuit in G¹ | 9 κατασταλαγμὸν R, καταστάλαδον *Vári* hic et supra | 12 τοῦ δέρματος post ἐπιφάνειαν R | 13 δὲ τὰ σφυρά R P περὶ τὰ τοῦ π. R P | 14 γίνονται οἰδήματα R P καὶ ἐρυθήματα P | 15-19 G² R P | 16 verbo ἔχοντος add. R P: κοῖλοι γάρ | 18 ἔγκρισις G² | 20 exstat in G¹ ad v. 481 sch. epitom. ἔλλωψ P | 22 τοῦτο γὰρ σ. τὸ R P | 24 τοσοῦτον — 25 G² R P | 26 τῷ — γράφεται R P τῶν P | 27 ἐλεβόρου P.

ἐν Φωκίδι δοκεῖ εὑρεθῆναι. κελεύει δὲ ἐλλέβορον ἢ σκαμωνίαν διδόναι πίνειν τῷ κάμνοντι, ἵνα τῆς κοιλίας φερομένης συγκριθῇ καὶ τὸ τοῦ φαρμάκου κακὸν συναπορραγῇ. φοινήεσσαν δέ, εἴρηκε τὴν τοῦ μέλανος ἐλλεβόρου πόσιν.

5 484. *κάμωνος κατ᾽ ἔνδειαν τοῦ σ. λέγει δὲ τὸν τῆς σκαμωνίας χυλόν.*

485. *ἐκ φύρματα χεύῃ· ἀντὶ τοῦ τὰ κόπρια καὶ σκύβαλα ἐκβάλλῃ.*

486. *βρωμήεντος· τοῦ ὄνου, παρὰ τὸ βρωμᾶσθαι.*

10 488. *κεδρινέης· κεδρινέαν νῦν λέγει, εἰ καὶ πίσσαν αὐτὴν εἶπε· πᾶν γὰρ τὸ ἀποστάζον πίσσαν καλεῖ. πελανοῦ δὲ βάρος· ἀντὶ τοῦ ὀβολοῦ ὁλκήν· οὐ γὰρ μόνον τὸ πέμμα, ⟨ἤτοι τὸ ἕψημα R P⟩, πελανὸς λέγεται, ἀλλὰ καὶ ἡ τοῦ ὀβολοῦ ὁλκή. ἄλλως· πελανοῦ· τῆς πεπηγυίας κεδρίνης πίσσης. λέγει δὲ τὴν* 15 *κεδρίαν.*

490. *οἰνωπῆς· εἶδος ῥοιᾶς καὶ οἰνάδος. καὶ προμένειον ῥοιᾶς φασιν εἶδος, ὠνόμασε δὲ αὐτὴν ἀπό τινος Προμένου Κρητός. σὺν δὲ καὶ Αἰγινῆτιν· καὶ τὴν Αἰγινῆτιν δέ, καὶ ὅσα τὰ σκληρὰ κάρφη, ἤγουν τὰ ἁπαλὰ κοκκία κατ᾽ ἀντίφρα-* 20 *σιν, τῇ ἰσχνῇ καλύπτρᾳ καλύπτουσιν· ἢ ὅτι κάρφη τὰ λέπη, τοὺς φλοιούς.*

492. *διαφράσσουσι καλύπτρῃ· τῇ ἰσχνῇ περιβολῇ τῶν κόκκων· ὅσαι, φησί, τὰ σκληρὰ καὶ φοίνια ἤγουν ἐρυθρὰ κάρφη, τουτέστι τοὺς ἐρυθροὺς κόκκους, τῇ ἀραχνώδει καὶ ὑμενώδει* 25 *καλύπτρᾳ διαφράσσουσι, τουτέστι τῷ ἔσωθεν τοῦ δέρματος ὑμένι.*

493. *ἄλλοτε δ᾽ οἰνοβρῶτα· τὴν ἐν οἴνῳ, φησί, τρωγο-*

1 *ἐν φωκαίᾳ* superscr. in G[1] a G[2] *ἐλέβορον* P *σκαμμωνίαν* R | 2 *πίνειν* om. R *ὅπως τῆς κοιλίας κατενεχθείσης καὶ τὸ τοῦ φ. κτέ.* G[1] | 3 *συναπορρύῃ* G[1] | 4 *εἴρηκε δὲ καὶ φοιν. τὴν τοῦ μ. κτέ.* | 5 — *καλεῖ* (11) G[2] R P | 5 *δὲ*] *γὰρ* R *τὸν* om. G[2] | 7 *ἐκχύματα καὶ χεύῃ* P | 8 *ἐκβάλλει* R P | 11 *πελάνου* R P et postea *πέλανος* | 14 *ἄλλως* om. G[1] *πελανοῦ* omm. R P | 16 *οἰνωπῆς — οἰνάδος καὶ* G[2] R P | 16-17 *προμ. δὲ εἶδος ῥοιᾶς* R P | 18 *σὺν* — 21 R P. Exstat in G[1] sch. epitom. atque pessime involutum; dedi quae exhibent R P, addito lemmate. *αἰγινῶτιν* R | 19 *ὅσα* R P *τὰ ἁπαλὰ κοκκία* ex G[1] recepi; *τοὺς ἁπλοὺς κόκκους* R (sed ex *ἁπλοὺς* corr. *ἁπλῶς* m. alt.) P | 20 post *καλύπτουσιν* add. G[2]: *ἤτοι περιβολῇ ἰσχνῇ καλύπτουσιν* | 22 ante lemma R P: *ἄλλως* | 23 *ὅσα* P *ἐρυθρᾶ* P | 24 *τουτέστι τῇ ἐρυθροὺς κ. ἐχούσῃ* G[1] | 25 *διαφράσουσι* R | 26 *ἄλλοτε δ᾽* om. G[1].

μένην βοράν, τουτέστι τὴν σταφυλὴν ἐν κυρτίδι θλίψας καὶ οἱονεὶ ἐκπιέσας, δίδου αὐτῷ πιεῖν, οἱονεὶ γλεῦκος, ὃ λέγεται ἐν συνηθείᾳ μοῦστον. κυρτίς, κατασκεύασμά τι ἐκ λεπτῶν σχοινίων γεγονός, ᾧ καὶ οἱ μυρεψοὶ χρῶνται περὶ τὴν τῶν μύρων ἔκθλιψιν, ὑλιστήριον αὐτὸ καλοῦντες, ἢ καὶ ὑλίστριον. καὶ ὁ 5 τριπτὴρ δέ ἐστι κατασκεύασμα πρὸς πιεσμὸν εὔθετον. ἄλλως· κυρτὶς κατασκεύασμά τι, ἐν ᾧ τὰς σταφυλὰς θλίβουσι. λέγει δέ, σταφυλὴν δίδου πιεσθεῖσαν.

495. ἢν δέ τις αὐαλέῃ· ἐὰν δέ τις, φησί, ξηρᾷ συνεχόμενος δίψῃ, καὶ προσπεσὼν ἐπί τινα ποταμὸν ἢ λίμνην πίνῃ 10 ταυρηδόν, τῇ δὲ βίᾳ τοῦ ἑλκυσμοῦ προσπέσῃ βδέλλα, καὶ τὰ ἑξῆς. ἰστέον δέ, ὅτι ἀπὸ τῆς βδέλλας γίνεται ὁ οἶστρος.

497. θρῖα δὲ κυρίως μὲν τῆς συκῆς τὰ φύλλα, νῦν δὲ τῶν μνίων φησί, τουτέστι τῶν βρύων.

498. τοῦ μέν τε ῥοιζηδά· λείπει τὸ πίνοντος· τούτου, 15 φησί, ῥοιζηδὰ πίνοντος ἡ φιλαίματος βδέλλα προσπελάζουσα ἐπὶ τὰ χείλη αὐτοῦ τῆς βρώμης ἕνεκα τῇ ῥύμῃ τοῦ ποτοῦ, ἤγουν τῇ φορᾷ καὶ τῇ ὁρμῇ, προὔτυψε παρὰ τῇ λαπάρᾳ αὐτοῦ ἱμείρουσα καὶ τοῦ φόνου. ἄλλως· ῥύμῃ ἄλις· βούλεται εἰπεῖν, ὅτι φερομένη τῇ τοῦ ὕδατος ὁρμῇ ὅπου αὐτὴν τὰ πρῶτα ὁ 20 ῥοῦς προσπελάσῃ κακοπαθεῖσαν, ἀθρόως προσφύεται ἀμέλγουσα τὸ αἷμα.

501. ἢ ὅτε ὑπὸ ζοφέης νυκτός· ἢ ὅτε ὑπὸ τῆς ζοφώδους νυκτὸς κεκαλυμμένος τὰς αὐγάς, ἤγουν τοὺς ὀφθαλμούς, τὰ χείλη αὐτοῦ πρὸς τὰ χείλη τῆς ὑδρίας πιέσας καὶ κατα- 25 κλίνας ἑαυτὸν ἀφραδέως τὸ ποτὸν ἴσχῃ.

505. τὰς μὲν ἵνα· μετέβη ἀπὸ τοῦ ἑνικοῦ εἰς τὸ πλη-

2 οἱονεὶ om. R utroque loco τὸ γλεῦκος R | 2-3 ὃ — μοῦστον om. R | 5 ὑλιστήριον — ὑλίστριον R P | 6 κατασκεύασμά τί ἐστιν R P | 6-7 πρὸς πιεσμόν — τι omm. R P | 7 ἀποθλίβουσι R P | 9-12 ἢν δέ τις — ἑξῆς habent G¹ R P add. G² ἐὰν οὖν R φησί om. R | 9-10 κατεχόμενος G² πίνει R | 11 προσπέσοι G² | 12 ἰστέον — 14 G² R P βδέλλης G² | 13 θρία codd., corr. *IGSchn.* τὰ τῆς σ. φύλλα R P | 15 λείπει τὸ (τοῦ R) π. G² R P | 17 ἐπὶ om. P αὐτῆς (?) G¹ | 19 καὶ τοῦ om. R ἄλλως om. G¹ | 20 φερομένην G¹ ὅπου τοῦτον (quod ind. G²) αὐτὴν κτέ. G¹, ὅπου ὁ ῥ. αὐτὴν ἐλάσει καταποθεῖσαν R P | 23 ὅτε] ὁπόθ' P | 25 ὑδρείας G¹ καὶ] ἢ R | 26 τὸ] τὸν R ἴσχει R P | 27 τὰς μὲν ἵνα πρώτιστον est lemma in R P ἀπὸ δὲ ἑ. εἰς πλ. μετῆλθε G¹.

θυντικόν· ταύτας δὲ τὰς βδέλλας, φησίν, ὅπου ἂν ὁ ῥοῦς ὤσῃ, καὶ τὰ ἑξῆς.

506. ἀμελγόμεναι δέ, ἀντὶ τοῦ πιέζουσαι ἤτοι πίνουσαι.

507. πύλῃσιν ἐφήμεναι· τουτέστι τοῦ πνεύμονος ταῖς
5 πύλαις, ἢ τῇ ἀρχῇ τοῦ λαιμοῦ, ἤτοι τῷ φάρυγγι, ἢ τοῦ ἥπατος ἢ τοῦ στομάχου.

509. πέριξ δ᾽ ἐπενήνοθε γαστρός· ἀντὶ τοῦ ὅτε δὲ τῷ στόματι τῆς κοιλίας ἐπίκειται, λαμβάνουσα τὴν προσφάτως ἐπενεχθεῖσαν τροφήν. τὸ δὲ ἐπενήνοθεν ἀντὶ τοῦ ἐπίκειται·
10 πάλιν δὲ ἀνέδραμεν ἀπὸ τοῦ πληθυντικοῦ ἐπὶ τὸ ἑνικόν.

510. νέην δ᾽ ἐπενείματο δαῖτα· ἤτοι ἣν ἄρτι ἔφαγε, διεμερίσθη καὶ ἐπεβοσκήθη.

511. τῷ σύ· ἤτοι τῷ καταπίνοντι τὴν βδέλλαν νειμείας, ὅ ἐστι δοίης, συνημμένην τῷ ὄξει ψυχρὰν πόσιν.

15 512. χιονόεσσαν· τουτέστιν ὑπὸ χιόνος παγεῖσαν.

513. καὶ τὸ νέον βορέῃσι παγέντος· ἀντὶ τοῦ νεωστὶ βορείαις πνοιαῖς παγέντος τοῦ κρυστάλλου.

514. ἠὲ σὺ γυρώσαιο· ἀντὶ τοῦ σκάψειας, ὀρύξειας. καθαλμέα δὲ βώλακα· τὸν ὑφαλμυρὸν βῶλον τῆς γῆς λέγει
20 δὲ τὸ ἅλας, ἢ τὸν ὀρυκτὸν ἅλα· ἐν ἁλμυροῖς γὰρ τόποις οὐ γίνεται ἡ βδέλλα διόπερ ποιεῖ τὸ ἁλμυρὸν ὕδωρ πρὸς ἀντιπάθειαν αὐτῆς. ἅλμην δὲ κελεύει πιεῖν Καππαδοκικοῦ ἁλός.

515. ναιομένην δέ, ἤτοι πατουμένην, ὁδευομένην, ἠροτριωμένην. τὸ θαλερὴν δὲ γράφεται καὶ θολερὴν, διότι ὠφέ-
25 λιμός ἐστιν.

516. ἢ αὐτὴν ἅλα βάπτε· ἢ αὐτήν φησι τὴν θάλασσαν, τουτέστι τὸ θαλάσσιον ὕδωρ, διδόναι πιεῖν, ποτὲ μὲν ἡλίῳ

3-6 G² R P | 3 ἀντὶ τοῦ πιεζόμεναι ἤτοι πιέζουσαι R P | 7 πέριξ ἐπένηνοθεν est lemma in G¹ | 8 ἐπίκεται om. G¹ λαμβάνουσα G¹ R ex corr., λαμβάνουσαν P, λαμβανούσης Vári | 9 ἐπενεχθεῖσαν] ἐσθιομένην G² R P τὸ δε — ἐπίκειται G² R P | 11-18 usque ad ὀρύζειας G² R P | 12 διεμερίσατο G². ad v. 511 quaedam add. G² ex *Eutecn.* 241a 10-12 | 13 τῷ σύ] νείμειας G¹ in sch. epitom. | 14 συνηρμοσμένην R (ex corr.) P | 15 ὡς ὑπο χ. G² | 16 βορείησι P | 17 κρυστάλου R | 18 κάμψειας | 19-20 τὸν ὑφ. — ἢ om. G¹ | 20 τόποις post γίνεται G¹ | 22 post ἁλός add. G¹ ind. G²: βῶλον τῆς γῆς λέγει τὸ ἅλας· ἢ τὸν ὀρυκτὸν ἅλα· ἢ αὐτήν φησι τὴν θάλασσαν ποτὲ μὲν θερμαίνων ἐν ἡλίῳ, ποτὲ δὲ καὶ πυρί. | 23-25 G² R P | 24 τὸ θολερὴν δὲ γρ. καὶ θαλερήν G² et G¹ in glossa interl. | 26-379, 2 G² R P | 26 φησι om. R | 27 ἡλίου R.

θερμαίνοντι κατὰ τὸ θέρος, ποτὲ δὲ πυρὶ θάλψας. βάπτε γὰρ ἀντὶ τοῦ ἄντλει, γέμιζε.

517. ἠελίοις ὀπωρινοῖς, τουτέστι ταῖς ἡμέραις. ἠνεκές, ἀντὶ τοῦ ἐπιπολὺ τῷ πυρὶ θάλψας.

518. ἅλα δὲ πηκτόν· τὸν ὀρυκτόν, τὸν ἐκμέταλλον. 5

519. ἐμπίσαις· ἀντὶ τοῦ ἐμμίξαις τὴν ἄχνην· λέγει γὰρ τὸν ἀφρόν, ὅντινα ὁ ἁλοπηγὸς ἀνὴρ συνάγει.

520. νείοθ' ὑφισταμένην· ἀντὶ τοῦ κάτωθεν ἐκ βάθους συνισταμένην τοῦ κράματος τῶν ἁλῶν, ἐπὰν οὗτοι μῖξιν λάβωσιν. ⟨ὕδατι μίξῃ G[1]⟩· ἰστέον ὅτι οἱ ἁλοπηγοὶ μιγνύουσι τοῖς 10 θαλασσίοις ὕδασι γλυκέα ὕδατα καὶ συνταράσσουσι ἀμφότερα, ὥσπερ ἀποπλύναντες τὰ θαλάσσια ὕδατα τοῦ βρώμου τοῖς γλύκεσιν· ἐν οὖν τῷ ταράσσεσθαι ἀφρός τις ἀναδίδοται, ὅντινα λέγουσιν ἄχνην ἁλός.

521. μὴ μὲν δὴ ζύμωμα· καὶ γὰρ ζύμωμα εἶπε τὸν 15 μύκητα, ἐπειδὴ ζύμῃ ἔοικε τῆς γῆς, τουτέστι πηλῷ, ὅμοιος γὰρ ἐστι βώλῳ γῆς. ἄλλως· ζύμωμα κακόν· τοὺς μύκετάς φησιν, ἐπειδὴ ἐκ τῆς γῆς γεννῶνται· οὗτοι δὲ ὁτὲ μὲν ἐν τοῖς στερνοῖς ἀνοιδοῦσιν, ὁτὲ δὲ καὶ περὶ τὸν λαιμὸν ἀνίσταται ἡ ἀπ' αὐτῶν κάκωσις. τότε δὲ ἐνεργοῦσιν οἱ μύκητες, ὅταν φύωσιν ἐν 20 τῷ τόπῳ, ὅπου ἐφώλευσεν ἔχιδνα. ζύμωμα δὲ αὐτοὺς ἐκάλεσεν, ἐπειδὴ ἀναζυμοῦνται ἔσωθεν μὴ πεττόμενοι, ἢ ὅτι ὥσπερ ζύμη εἰσὶ τῆς γῆς.

522. ἄλλοτε δ' ἄγκον· οἱ μέν φασι εἶναι πόαν τινὰ πλησίον τοῦ φωλεοῦ τῆς ἐχίδνης φυομένην, καὶ τὸ ἆσθμα αὐτῆς 25 ἀνιμωμένην αὐτήν, ἄλλοι δὲ ἐκ τοῦ ἱδρῶτος τοῦ ὄφεως. πολ-

1 κατὰ τὸ θέρος omm. R P θάλψας omm. R P | 3-5 R P | 6-7 G[1]: ἐμπίσαις· ἐμμίξαις τὴν ἄχνην. ἄλλως· ἐγκαταμίξαις τὴν ἄ., λέγει δὲ κτέ. | 6 ἐμπίξαις P | 7 ἁλοπηγός ex ἁλοποιός G[1] | 8 ὑφιστάμενον P | 9 συνιστάμενον P μίξιν R P | 10 ὕδασι fecit G[2] ex ὕδατι | 12 ἀποπλύνοντες G[1] τοῦ βρόμου (sic) τὰ θαλάσσια ὕδατα (ὕδατα add. G[2] in mg.) G[1] | 15-17 καὶ γὰρ — κακόν G[2] P | 16 ζύμῃ] ζυμώματι P ὅμοιον P | 17 ita G[1]: τοὺς μύκητας, ἐπεὶ ἐκ τῆς γῆς γεννῶνται (οὗτοι add. G[2]), ὁτὲ μέν φησί ἐν τοῖς στερνοῖς κτέ. | 18 γεννᾶται R | 19 καὶ om. P ἀνίσταται Ald., ἐνίσταται G[1], ἀνίστανται P, ἀπανίστανται R | 20 τότε — μύκητες om. P | 21 τῷ om. R ἐφώλευεν R P | 22 πιπτόμενα R ὅτι om. G[1] add. G[2] ὥσπερ ὅτι R ζύμη] ζύμωμα R P | 26-380, 2 πολλάκι — γαστρί G[2] R P.

λάκι μὲν στέρνοισιν ἀνοιδέον, καθὸ βρωθέντες οἱ μύκητες ἀνοιδοῦσιν ἐν τῇ γαστρί.

523. *εὖτ᾽ ἐπὶ φωλεύοντα· ἀντὶ τοῦ ὅτε τραφῇ ἐπὶ τὸν φωλεύοντα βαθὺν ὁλκὸν τῆς ἐχίδνης, ἤτοι περιφραστικῶς περὶ τὸν βαθὺν φωλεὸν τῆς ἐχίδνης.*

524. *ἰὸν ἀποπνεῖον· ἤγουν τὸν ἰὸν αὐτῆς ἀποπνέον τῶν στομίων τῆς ἐχίδνης. γράφεται δὲ καὶ ἀνικμάζον, τουτέστιν ἀνιμώμενον καὶ ἀναπῖνον τὸν ἰόν. ἀποφώλιον ἆσθμα, ὅ ἐστι χαλεπὸν ἆσθμα, τουτέστι τὴν χαλεπὴν πνοὴν τῆς ἐχίδνης τῶν στομίων.*

525. *⟨κεῖνο κακόν ζύμωμα* G[1]*⟩· τοὺς μύκητας ἀδιαφόρως ζύμωμα καλεῖ.*

526. *παμπήδην· ἀντὶ τοῦ πανταχοῦ, οἱ πλεῖστοι, ἢ καθολικῶς ὅλους μύκητας καλοῦσιν, οἱονεὶ ἀμανίτας. ἄλλῳ γὰρ ἐπ᾽ οὔνομα· ἐπ᾽ ἄλλῳ γὰρ εἴδει ἄλλο κέκριται ὄνομα. πολυώνυμον γάρ ἐστι τὸ ζύμωμα· καὶ γὰρ καλεῖται ζύμωμα, μύκης, ἀμανίτης καὶ βῶλος.*

527. *ἀλλὰ σύγ᾽ ἢ ῥαφάνοιο· δίδου, φησί, τὸν καυλόν, ἤτοι τὴν κεφαλὴν τῆς κράμβης, τουτέστι τὸν ἀσφάραγον, ἐπειδὴ ῥάφανον τὴν κράμβην φησίν. εὔχρηστον γὰρ πρὸς ἀντιπάθειαν.*

528. *ἢ ῥυτῆς· ἢ πηγάνου χλωρὸν θάλλοντα καὶ χλοάζοντα ῥάβδον, ὅ ἐστι κλάδον κόψας. γράφεται καὶ ῥάδικα, οἷον κλῶνα.*

529. *χαλκοῖο, ἤτοι παλαιᾶς χαλκάνθου· προστάσσει γὰρ χαλκοῦ ἄνθος πιεῖν.*

530. *κλημ ατόεσσαν· κλη ματίδος, φησί, θρύψον σποδὸν ἐν τῷ ὄξει, τουτέστιν ἔμβαλε σποδὸν κλήματος ἐν ὄξει.*

2 *ἀναδιδοῦσιν* P | 3-4 *ἀντὶ — φωλεύοντα* om. P | 3 *ἐπὶ*] *περὶ* R | 4-5 *ἤτοι κτέ.* om. R | 6-7 *ἰὸν — ἀνικμάζον* G[2] R P | 6 *ἀποπνεῖον Ald.*, evanuit in G[2], *ἀποπνείων* R P *ἀποπνέων* R P | 7 *γρ. καὶ ἀνίκμωνον* (*ἀνικμαῖον* con. *Vári*) G[1], quae ind. G[2] | 8 *ἀναπίνων* R P | 11 *κακὸν* corr. *Abel* ex *ποτὸν καὶ* | 12 *ζύμωμα* om. G[1] *καλεῖ* R, *καλοῦσι* codd. rell. | 14 *ὅλους* om. R, inserit P post *μύκητας* *αὐτοὺς καλοῦσιν* R | 15 *ἐπ᾽ ἄλλῳ — ὄνομα* G[1] | 16 *καὶ γὰρ*] *ὃ γὰρ* R P | 18 *ἀλλὰ* omm. R P | 19 *ἀσφάραγγον* R *ἐπειδὴ — φησίν* G[2] R P | 20 *ῥάφανον* scripsi ex con. *IGSchn.*, *ῥαφάνας* codd. post *φησίν* haec mutila leguntur in G[2]: *ἢ αὐτὴν . . , . . ῥάφα . . . . . τὸ πι . . . . .* | 22 *ῥᾶβδον* G[1] *κλάδους* R P | 23 *χαλακάνθου* R *προστάττει* G[1] | 25 *θρίψον* P | 26 *τουτέστιν κτέ.* om. R.

531. *πυρίτιδα·* πυρῖτις βοτάνη πύρεθρον καλουμένη· ⟨*καὶ βάμματι·* ὄξει G^2 R P⟩.

532. *τοτὲ φύλλον·* ἤγουν καὶ τὸ τοῦ καρδάμου φύλλον τὸ ἐν ταῖς πρασιαῖς αὐξανόμενον.

533. *Μῆδον δέ,* τὸ Μηδικὸν καλούμενον. ἔστι δὲ εἶδος 5 φυτοῦ. *καὶ ἐμπρίοντα* ⟨*σίνηπι* R P⟩· τραχὺν ὄντα τῇ γεύσει, ἢ παρ' ὅσον οἱ κλάδοι τοῦ σινήπεως τραχύτητα ἔχουσιν.

534. *οἰνηρήν·* οἴνου τρύγα ὀπτὴν ἐν ὄξει τρίψας δίδου πιεῖν.

535. *ἠὲ πάτον στρουθοῖο·* ἀφόδευμα ὀπτὸν ὄρνιθος 10 κατοικάδος. παραλέλοιπε δὲ τὸ μετὰ τίνος δεῖ πίνειν αὐτό, εἰ μὴ καθάπερ τὰ προειρημένα μετὰ ὄξους. *βαρεῖαν δὲ χεῖρα* τὴν δεξιὰν λέγει· ταύτην, φησί, καθεὶς ἐπὶ τὸ ἐμέσαι, ὡς ἐπιτηδειοτέραν δὲ καὶ πρακτικωτέραν. *κατεμβατέων·* τὴν δεξιὰν χεῖρα καθιεὶς εἰς τὸν φάρυγγα κατάσχοις τὴν κάκωσιν. 15

537. *λιπορρίνοιο·* ἡ σαλαμάνδρα ζῶόν ἐστι σμικρὸν τετράπουν, ὡς ἡ σαῦρα, τῷ χερσαίῳ κροκοδείλῳ ἐοικός, ψυχρὸν δὲ τῇ φύσει, διὸ καὶ τὸ πῦρ σβεννύει. οὔτε δέρμα ἔχει οὔτε λεπίδα, ὅθεν καὶ λιπόρρινον αὐτὴν ἔφη· ῥινὸς γὰρ τὸ δέρμα· ἢ διότι λίπος ἀφίησιν ἀπὸ τοῦ δέρματος· γλίσχρα γάρ ἐστι 20 καὶ λιπώδης καὶ ἀπὸ τοῦ σώματος ὑγρασίαν ῥεῖν εἴωθεν, ἥτις τὸ πῦρ σβεννύει. *ἄλλως·* ἡ σαλαμάνδρα εἶδος ἀσκαλαβώτου·

1 *πυρίτιδα* om. G^1 πυρίτιδα δὲ (δὲ om. R) βοτάνην π. καλούμενον R P | 2 βάμματα R | 4 post αὐξανόμενον R P: ἄλλως· τοτὲ φύλλον ἀντὶ τοῦ τὸ τοῦ (om. R) καρδαμοῖ φ. τὸ ἐν ταῖς πρ. αὐξανόμενον | 5 Μῆδον] μῆλον R P | 6 post φυτοῦ inserunt edd.: γράφεται καὶ μῆλον· ἔστι δὲ τὸ Μηδικὸν μῆλον, ὅ ἐστι τὸ νεράντζιον ἐμπρήοντι τὸ τραχὺν ὂν R P | 7 παρόσον R P σινήπεος P, γρ' σινήπυος mg. G^1 | 8 ὀπὴν R P | 10 ἢ στρ. πάτον P, στρουθοῖο om. G^1 | 11 αὐτό] τὰ αὐτά G^1 | 12-14 βαρεῖαν — πρακτικωτέραν G^2 R P | 13 λέγει omm. R P | 14-15 κατεμβατέων κτέ. G^1; haec R P: ταύτην οὖν εἰς τὸν φάρυγγα καθιεὶς κατάσχοιο τὴν ὅλην κάκωσιν. | 16-22 verba λιπορρίνοιο — ἄλλως dedi ex G^2 R P; haec G^1 in sch. epitom.: *λιπορίνοιο* (sic)· λίπος γὰρ ἀφίησιν ἀπὸ τοῦ δέρματος ἢ διὰ τὸ μὴ ἔχειν δέρμα μήτε λεπίδα· καὶ διότι γλίσχρα καὶ λιπώδης· ἀπὸ δὲ τοῦ σώματος ὑγρασίαν ῥεῖν εἴωθεν, ἥτις καὶ τὸ πῦρ σβεννύει. | 16 post lemma καὶ γὰρ inserunt R P τετράπουν μικρόν R P | 20 γλίσχρα G^1 in sch. epitom. γλίσχρον R, γλίσχρως P, evanuit in G^2 | 21 λυπώδης R, ῥυπώδης P ῥεῖν εἴωθεν] ἀπορρεῖ G^2 | 22 ἄλλως om. G^2.

Ἀνδρέας δέ φησι· κἂν τῷ αἵματι αὐτῆς ἢ χεῖρα ἢ ἐσθῆτα χρίσῃς, ἀβλαβὴς ἔσται ἐκ πυρός. δυσάλυκτον δέ, ἀντὶ τοῦ δύσφευκτον.

540. *γλώσσης βάθος*· περιφραστικῶς ἀντὶ τοῦ ἡ γλῶσσα ἐπρήσθη· τῶν πινόντων γάρ, φησίν, ἡ γλῶσσα παχύνεται.

543. ⟨*τετράποδες* G^1⟩· οὗτοι δὲ σφαλλόμενοι τετραποδισὶ σύρονται καθάπερ ⟨βρέφη G^1⟩· αἱ γὰρ διάνοιαι αὐτῶν ἀμαυροῦνται καὶ ἀφανίζονται.

544. *σάρκα δ' ἐπιτροχόωσιν*· ἀντὶ τοῦ ἐπιτρέχει τῇ σαρκὶ πελιδνότης, ἐξ ἧς ὑγρασία· καὶ ἐπιπορευομένης τῆς κακίας, ἤτοι σκεδαννυμένης ἢ σκεδαζούσης καὶ τὰ ἑξῆς, βοήθειαν δὲ διδοὺς ῥητίνην πευκίνην, ἀναμίσγων ταύτην τῷ μέλιτι.

545. *σμώδιγγες*· αὗται κατὰ σύντηξιν τῆς σαρκὸς στάζουσιν· ἐὰν δὲ στίζουσι γράφηται, καθάπερ οἱ στιζόμενοι· γράφεται γὰρ στίζουσι, ἵν' ᾖ σημαῖνον τὸ ποικίλως πελιδνοῦσθαι, καθάπερ τοὺς στιζομένους. καὶ δαιομένη δέ, ἀντὶ τοῦ μεριζομένης πανταχοῦ τῷ σώματι.

547. *τενθρήνης*· τενθρήνην εἶπε τὴν τεντρηδόνα. ζῷον δέ ἐστι μελιτοποιόν, ὃ ὑπ' ἐνίων λέγεται βόμβυξ· ἔστι δὲ ἐμφερὲς μελίσσῃ. ἄλλως· τενθρήνη εἶδος μελίσσης, ἢ τόπος, ὅπου αἱ μέλισσαι διατρίβουσιν, ὡς εἶναι τὸ μελίσσειον· δύναται δὲ κατὰ συγκοπὴν τενθρηδόνος ἀντὶ τοῦ Θεσσαλικοῦ. Ὅμηρος ⟨B 756⟩·

Πρόθοος Τενθρηδόνος υἱός.

ἐπεὶ καὶ ἡ τενθρηδών, ὅ ἐστιν εἶδος μελίσσης, ποιεῖ ἔργα· παρακελεύεται οὖν ἐκ τούτων τὸ μέλι λαμβάνειν.

2 *χρίσεις* G^1 | 2-3 *δυσάλυκτον κτέ.* R P; haec mutila G^2: *δυσα* .... *και* ...... *τίς* .... *ποι* .... | 4 *ἡ γλῶσσα φησὶ* G^1 | 5 haec ad *ἐπρήσθη* add. G^2 (ex recens. W.): *ἀντὶ τ⟨οῦ οἰδάνεται⟩, ἤγουν ⟨παχύν⟩εται ⟨ἢ ἐπρή⟩σθη ⟨ἀντὶ τοῦ ἐπλή⟩σθ⟨η⟩*   *γλῶσα* P | 7 *αἱ αἱ γὰρ* (sic) P, *γὰρ αἱ* R | 9 *δ' ἐπιτρέχουσιν* G^1 | 10 *ἐργασία* R P   *ἐπιπορθμευομένης* R P | 11 *σκεδαννυζούσης* G^1 *καὶ τὰ ἑξῆς* habent R P   *βοήθειαν* *Ald.*, *βοήθει* G^1 P, *βοήθ'* (sic) R | 13 *σύνταξιν* P   *τῆς* om. P | 15 *στίζουσι* *Keil.*, *στίζουσαι* codd. | 16-17 *καὶ — μεριζομένης* G^2 R P   *καὶ δαιομένης*] *κεδαιομένης* G^2, ut videtur | 17 *πανταχοῦ τῷ σ.* R P | 18-20 verba *τενθρήνης — μελίσσῃ* exstant in G^1 post *πιεῖν* (p. 383 l. 3) | 19 *βόμβιξ* G^1 ex corr. G^2 | 20 *τόπος* omm. R P | 21 *ὡς εἶναι τὸ μ.* om. R, *ἢ ὡς εἶναι τὸ μελίσσιον* P, *μέλι* post *μελίσσιον* add. G^2 in G^1 | 22 *τενθρηδίνης* P | 24 *ὅ ἐστιν εἶδος μ.* G^2 R P, *ὅ* om. R | 25 *οὖν*] *δὲ* P   *ἐκ ταύτης* voluit *Vári*   *τὸ μέλι* omm. R P.

548. *ἠὲ χαμαιπίτυος·* ἢ τῆς χαμαιπίτυος, τοῦ βλαστοῦ μετὰ κώνων· εἰσὶν οὖν κῶνοι πίτυος οἱ στρόβιλοι. συνεψήσας οὖν τούτους τοῖς φύλλοις τῆς χαμαιπίτυος, φησί, δίδου πιεῖν. ἄλλως· τῆς πίτυος τὰ φύλλα καὶ τοὺς κώνους ἀφεψήσαντα κελεύει τὸν χυλὸν διδόναι πιεῖν· ὁμωνύμως δὲ λέγεται ὁ καρπὸς καὶ ὁ στρόβιλος καὶ ὁ κῶνος. ἄλλως· τῆς χαμαιπίτυος, φησί, τῆς βλαστήμονος ἀναμεμιγμένως καθεψήσας τὰ φύλλα καὶ τοὺς κώνους, ὅσους ἐθρέψατο ἡ πεύκη, τουτέστιν ὅλα ὁμοῦ σύμμικτα ἑψήσας δίδου πιεῖν.

550. *ἄλλοτε δὲ σπέραδος·* ἤτοι κνίδης σπέρμα ξηρὸν ἢ αὐτὴν ξηρὰν κελεύει κόψαι καὶ ὀρόβου ξηροῖς ἀλεύροις ἐν ἐλαίῳ μίξαντα διδόναι φαγεῖν εἰς κόρον. *μυλοεργέϊ δὲ παλήματι τερσαίνοις·* ἀντὶ τοῦ τῷ ὑπὸ μύλης κατεργασθέντι ἀλεύρῳ τοῦ ὀρόβου ξηραίνοις καὶ φρύγοις, καὶ τὰ ἑξῆς.

552. *ἑψαλέην·* ἤτοι ἡψημένην, ἐξηραμμένην ἀπὸ ἡλίου, καὶ αὐτὴν δὲ τὴν κνίδην συνεψῶν πότιζε μίσγων ἀλεύρῳ ὀρόβου ἢ καὶ κριθίνῳ ⟨ἀλεύρῳ G^1⟩ μετὰ ἐλαίου.

555. *χαλβανόεσσα·* καὶ ἡ ῥητίνη καὶ μέλι καὶ ῥίζα χαλβάνης καὶ ᾠὰ χελώνης διδόναι κελεύει ἑψήσαντα ἐπ᾿ ἀνθράκων· *τὸ γὰρ ἔνερθε πυρὸς ζαφελοῖο κεραίης·* τὸ ἄγαν σφοδρῶς ἐν τῇ σποδιᾷ τοῦ κέραιος ἑψηθῆναι τοῦτο δηλοῖ. κεραία γὰρ λέγεται τὸ ἄκρον καὶ ἔσχατον. ἡ χαλβάνη δὲ ὀπός ἐστιν ἐκ τῆς ῥίζης τῶν πανάκων πεπηγμένος.

1 sqq. ordinem secutus sum, quem praebet G^1, sed ἄλλως utrumque ipse inserui; haec R P: ἢ τῆς (τῷ R) χαμαιπίτυος οἱ στρόβυλοι (sic) σανεψήσας οὖν φησι τοῦτο τοῖς φύλλοις τῆς χαμ. (φησὶ add. P) τῆς βλαστήμονος κτέ. (l. 7-10); et deinde: ὁμονύμως λέγεται ὁ καρπός, ὁ στρόβιλος (στρόβυλος R) καὶ ὁ κλών. v. *Animadv.* | 3 ἔστιν οὖν G^1, corr. *IGSchn.* | 7 διαμεμιγμένως R | 8 ὅσα R, ὅ G^1 | 9 δίδου πιεῖν habent R P | 10-κόρον (12) G^2 R P: haec G^1: ἄλλοτε δὲ σπέραδος· κνίδης σπέρμα καὶ ὀρόβου ἄλευρον κελεύει κόψοντα (κόψαντα *IGSchn.*) διδόναι πιεῖν, μετὰ τίνος δὲ οὐκ εἴρηκεν. | 10 δὲ] καὶ P | 12-14 μυλοεργέϊ κτέ. G^2 R P, sed eadem fere habet G^1 in glossa interl. v. *Animadv.* | 12 παλάγματι τερσήνη P | 13 τῷ omm. R P μύλου R, μήλου P ἀλεύρου R P | 14 ξηραίνειν καὶ φρύγειν R P | 15 ἑψημένην R P ἐξηραμμένην] ξηρανθεῖσαν R P | 16 κνίδα R P | 18 χαλβανόεσσαν P ῥιτίνη P | 19 ἑψήσαντα G^1 P, ψήσαντα R, ἑψηθέντα *IGSchn.* ἐπ᾿] ὑπ᾿ R P | 20 ζαφλεγοῖο R P κεραίης] κελεύει R, κελαίνειν P | 21 verba ἐν — ἑψηθῆναι praebent G^2 R P | 22-384, 2 ἡ χαλβάνη — διαπλώει G^2 R P | 23 πανάκων] πλατάνων R P περιπηγμένης R.

557. ἀλίοιο δὲ θαλασσίου ἤγουν ἐνύδρου.

559. ἢ ταχινῇσι· γράφεται ἦτ' ἄκρῃσι διαπλώει. πτερύγεσσι· πτεροῖς, ἀντὶ τοῦ τοῖς ποσί· τούτοις γὰρ ἐπινήχεται.

560. ἄλλοτε δ' οὐρείης· ἢ χερσαίης χελώνης ἢ ὀρεινῆς· 5 αὐδήεσσαν δὲ διὰ τὴν λύραν, ἣν ἐποίησε τῷ Ἀπόλλωνι ἀντὶ τῶν βοῶν· μισθωτὸς γὰρ ὢν Ἀδμήτου ὁ Ἀπόλλων ἔβοσκεν αὐτοῦ τὰς βόας, ἃς ἔκλεψεν ὁ Ἑρμῆς καὶ φωραθεὶς ἔδωκεν αὐτῷ ἀντίλυτρον τὴν κιθάραν τὴν ἐκ τῆς χελώνης αὐτῷ κατεσκευασμένην, τὴν λεγομένην χέλυν, ὅθεν καὶ λύρα ἐκλήθη, οἱονεὶ λύτρα τις 10 οὖσα ὑπὲρ τῶν βοῶν.

κυτισηνόμου· χελώνης εἴδη δύο, ὄρειον καὶ θαλάσσιον, ὧν αἱ ὀρειναὶ ὑπ' ἀνέμων πληροῦνται, ὥσπερ αἱ ὄρνιγες. ἢ τῆς παρὰ κυτίνῳ διατριβούσης· κύτινοι δὲ αἱ ἐξανθήσεις τῶν ῥοιῶν.

561. χέλειον αἰόλον· ἀντὶ τοῦ ὄστρακον ποικίλον. καὶ 15 ἀγκῶνας δύο, ἤτοι κανόνας, ὅθεν δέδενται αἱ νευραί. καὶ πέζαις, τοῖς ὤμοις· τοῖς ὤμοις, φησί, τοῦ ὀστράκου αὐτῆς δύο παρέθηκε πήγματα, ἅ φησιν ἀγκῶνας.

563. γερύνων δέ, βατράχων. καὶ λαιδροὺς τοὺς ἀναιδεῖς, διὰ τὸ βοᾶν ἀεὶ τῇ φωνῇ τραχυτέρᾳ. δαμάσαιο τοκῆας ἑψή-20 σειας. τῶν γερύνων, φησί, τουτέστι τῶν μικρῶν βατράχων, τοὺς ἀναιδεῖς πατέρας. πάσσων ῥίζας ἠρύγγου, ὅ ἐστιν εἶδος βοτάνης, προσπάσσων σκαμμώνιον καὶ χορτάσας, ὑγιάσεις τὸν κάμνοντα. ἄλλως· χύτρῳ σκαμμώνιον· τούτοις εἰ κορέσκοις τὸν ἄνθρωπον καὶ θανάτου πλησίον ἐλθόντα σώσεις.

1 ἀλίου R | 2 ἄκροισι διαπλόει P πτερύγεσι P | 2-3 verba πτερύγεσσι κτέ. habent G[1] et G[2] R P πτεροῖς] δὲ G[2] R P | 4 οὐρείης. ορεινῆς χερσ. χελ. G[1] εὐρείης P χερσέης P | 6 ἔβοσκε τοὺς β. P | 7 τὰς] τοὺς G[1] P ἃς Vári, οὓς codd. | 7-8 ἀντίλυτρον] ἀντὶ λύρας R P | 9 καὶ] ἡ R | 11 κυτησινόμου P | 12 ὀρεινοὶ G[1] | 14-17 G[2] R P | 14 χέλυον P | 16 αὐτοῖς P | 18 γερ. δὲ βατρ. G[2] R P inde a sch. ad v. 563 usque ad sch. ad v. 575 hunc ordinem sequitur G[1]: λαιδρούς | ἥν γε μὲν ἐκ φρύνοιο | ἄλλως | θερειομένου | λαχειδέος | τῶν ἤτοι θερόεις | δαμάσαιο | γερύνων | ἢ ἔτι καὶ κωφοῖο | ἠύτε θάψος | καί τε σπλήν | 19 ἀεὶ] πάντοτε | 19-21 δαμάσαιο — πατέρας om. G[1] add. G[2] | 19 τοκῆας omm. G[1] et G[?] ἑψήσειας omm. R P | 20 γερύνων δὲ τῶν μικρῶν βατράκων τοὺς ἀναιδεῖς πατέρας ἢ ῥίζας ἠρύγγου προσπάσσων κτέ. G[1] | 21 πατέρας omm. RP πράσσων P ἢ ῥίζας ἢ ῥύγγου R, ἢ ῥ. ἠρίγγου P | 22 σκαμμώνιον IGSchn., σκαμμωνιακοῦ R, ἀμμωνιακόν G[1], ἀμωνιακόν P | 23-24 ἄλλως κτέ. R P | 23 σκαμώνειον P | 24 θανάτῳ P.

24. 3. '905

567. *ἥν γε μὲν* ⟨*ἐκ φρύνοιο* G[1]⟩· περὶ φρύνου διαλέγεται, ὅς ἐστι βατράχου εἶδος· εἰς δὲ τὸν τέλειον λόγον προσληπτέον τὸ τίς. ἔνιοι δὲ ἀγνοοῦντες γράφουσι μετὰ τοῦ σ, δύσφημον ποιοῦντες τὸν λόγον. δύο οὖν γένη εἰσὶ βατράχων, χειμερινοί τε καὶ θερινοί, ὧν οἱ μὲν θερινοὶ κράκται εἰσὶ καὶ ἀβλαβέστεροι, οἱ δὲ χειμερινοὶ ἄφωνοι καὶ θανάσιμοι. *ἄλλως*· *φρύνου* ἀντὶ τοῦ φωνητικοῦ, εἰσὶ γὰρ καὶ κωφοὶ ⟨καὶ ἄφωνοι G[2] R P⟩, ὧν πρὸς ἀντιδιαστολὴν εἶπε φρύνου, ὡς ἔφημεν, τουτέστι φωνητικοῦ· ἔστι δὲ ἐμφερὴς βατράχῳ, ἀλλὰ τοὺς ὀφθαλμοὺς μείζονας ἔχει, ταῖς ῥίζαις δὲ τῶν καλάμων ἢ τῶν θάμνων προσκάθηται ὁ φρῦνος. *θερειομένου* δέ, τουτέστιν ἐν τῷ θέρει κατασκευασμένου εἰς δηλητήριον· τὴν ἐπιφάνειαν γὰρ τοῦ δέρματος κεντοῦντες ποιοῦσι τραυματίαν· εἶτα τὸν ἰχῶρα τούτου λαβόντες μίσγουσι βρώσει ἢ πόσει, καὶ οὕτω διδόντες ἀναιροῦσιν. ὁμογενῆ δὲ τὰ ζῷά εἰσιν, ὁ δὲ κωφὸς βάτραχός ἐστιν, ἀλλ' οὐ φρῦνος.

568. *ἢ ἔτι καὶ κωφοῖο*· ἤτοι τοῦ ἀφώνου καὶ δασέος. μεταβέβηκεν ἀπὸ τοῦ φρύνου ἐπὶ τὸν βάτραχον. ἐπεὶ ὁμογενῆ τὰ ζῷά εἰσιν· ὁ γὰρ κωφὸς βάτραχός ἐστιν, ἀλλ' οὐ φρῦνος. δύο δὲ γένη τῶν βατράχων, καὶ ὁ μὲν φθεγγόμενος ἀβλαβής, ὁ δὲ κωφὸς θανάσιμος.

λαχειδέος· δασέος, ὡς οἱ πρὶν ἐξηγησάμενοί φασι. ἤ, ὡς οἴεται ὁ Τζέτζης, πρασίζοντος, λαχανοειδέος, καὶ ἐν συγκοπῇ λαχειδέος. *ἄλλως*· *λαχειδέος*· τοῦ δασέος, ἢ μικροῦ, ἐὰν ἐλαχειδέος.

569. *προσφύεται δέ*, οὐ προσκάθηται. καὶ *μορόεις*· ὁ κακοποιὸς ἤγουν ὁ μόρον ἄγων. καὶ *λιχμώμενος ἔρσην*· ἀντὶ τοῦ ζητῶν ἢ λείχων τὴν δρόσον.

570. *τῶν ἤτοι θερόεις*· ⟨ἀνέστρεψεν ἐπὶ τὸν φρῦνον G[1]⟩·

1 *οὐ διαλέγεται* R P | 2 *ὅς*] *ὅ* R *εἰς δὲ τὸ* (*τὸν* fecit G[2]) *πλῆρες λόγον* G[1] | 4-6 *δύο — ἄλλως* G[2] R P | 6 *ἄλλως*] *ἢ οὕτως* R P, *ἄλλως· ἀντὶ τοῦ βωβοὶ* G[1], quae ind. G[2] | 8 *ὡς ἔφημεν* habet G[1] ad *φωνητικοῦ* add. G[1] ind. G[2] *οἱονεὶ φωνοῖο* (sic) | 9 *ἐμφερὴς δέ ἐστι* G[1] | 10 *ἢ τῶν θάμνων* om. G[1]; quaedam ad h. l. addit G[2], quorum vestigia: . . . *ἢ* . . . *τῶν* . . . *ἂν* . . . *ν* . . . *ἐ* . . . *ὁ* . . . | 12 post *δηλητήριον* add. G[1]: *καὶ θερόεις, ἐξ οὗ τῷ θέρει κατασκευάζεται δηλητήριον* | 12-15 *τὴν ἐπιφάνειαν κτέ.* om. G[1] | 12 *τὴν ἐπ. γὰρ τοῦ δ.* om. R | 13 *τούτου τὸν ἰχῶρα* G[2] | 14 *ἢ*] *καὶ* R P | 16 *ἢ — δασέος* G[2] R P | 16-20 *μεταβέβηκεν κτέ.* G[1] | 21-24 G[1] | 25-26 *προσφ. — ἄγων* G[2] R P | 26-27 *καὶ λιχμώμενος κτέ.* R P.

θερόεις γὰρ οὗτος, ἐπεὶ τῇ θερείᾳ τὸ ἀπ᾽ αὐτοῦ φάρμακον συντίθεται, ὅ δυναμικώτερόν ἐστι. ἄγει δὲ χλόον· δηλονότι τῷ φαρμακευομένῳ. ἠΰτε θάψου· οἱ γὰρ φαρμακευθέντες, φησίν, ὠχροὶ γίνονται· ὅτι δὲ οὐ πᾶς βάτραχος ἐπιτήδειος, ἀλλ᾽ ὁ ἐν
5 θερμοτέροις διατρίβων τόποις, καὶ Ἀπολλόδωρός φησι. τὴν αὐτὴν δὲ πόσιν ἀπὸ οἴνου δοτέον. ἡ δὲ θάψος ἐστὶν εἶδος βοτάνης χλωρᾶς. ᾗ προσεικάζει τὴν χροιὰν τοῦ κάμνοντος· τὸ δὲ ἆσθμα αὐτοῦ ἀθρόον συνάγεται. καὶ ἡ ἀναπνοὴ δυσώδης ἐστίν.

575. καί τε σπλήν· καὶ ὁ τῆς λιμναίας καὶ πολυλάλου
10 φρύνης τῆς βοώσης κατ᾽ ἀρχὴν τοῦ ἔαρος σπλὴν τὸ κακὸν βάρος τοῦ ὀλεθρίου ἐκείνου φαρμάκου. τοῦτο γὰρ λείπει. ἐβοήθησε τῷ κάμνοντι βρωθεὶς ὀπτός.

577. θυμάρμενον εἶαρ. τὸ θυμηρέστατον, τὸ τῇ ψυχῇ ἡρμοσμένον.

15 578. αὐτὰρ ὅγ᾽ ἄφθογγός τε. οὗτος δὲ κέρβερος καλεῖται, ἄφθογγος ὤν· ἐνταῦθα γὰρ περὶ τοῦ ἀλάλου διαλαμβάνει, ἐπειδὴ ἄνω περὶ τοῦ εὐλάλου εἶπεν.

580. ἄλλοτε δ᾽ ὑγραίνει· ἄγονόν φησι κατασκευάζεσθαι τὸν ἄνδρα ἢ καὶ τὴν γυναῖκα, διὰ τὸ ἐξυγραίνεσθαι τὸ σπέρμα
20 ὥστε ἐκ τοῦ αὐτομάτου ῥεῖν· ἀγόνους φησὶ τοὺς πίνοντας γίνεσθαι διὰ τὸ διαλύεσθαι τὸ σῶμα καὶ ῥοῶδες γίνεσθαι. ἄλλως· χολόεν στόμα· ἤτοι χολαῖς ὑγραίνει τὸ στόμα, τουτέστι χολῆς αὐτὸ πληροῖ.

581. καρδιόωντα δέ, ἤτοι τὴν καρδίαν ἀλγοῦντα.

25 582. κατικμάζων, ἀντὶ τοῦ καταστάζειν ποιῶν ἄνευ γονῆς.

1 ἐπεὶ] ἐπὶ R | 2-3 ἄγει — φαρμακευομένῳ R P οἱ γὰρ] ὅτι G[1] φησίν om. G[1] | 5 Ἀπ. δέ φησι R P | 6 πόσιν *IGSchn.* πίσσαν codd. | 7 χλωρᾶς — κάμνοντος G[2] R P haec add. G[1] quae ind. G[2]: πυρέσσων, φησί, ὠχρὸς (ὦχρος *Vári*) δὲ τοῦ φαρμακευθέντος παραπλήσιον γίνεται θάψῳ | 9-12 G[2] R P | 10 τοῦ ἔαρος] ἔαρος G[1], τοῦ ἀέρος P | 12 ὀπός R P | 13-17 G[2] R P | 13 θυμάρειον P | 16 περὶ τοῦ ἀφώνου φρύνου, ἐπειδὴ ἄνω περὶ τοῦ εὐλάλου εἶπεν habet G[1] post ὑγραίνει (18), ind. G[2] | 18 δ᾽] θ᾽ G[1] haec postea R P: φησὶν οὕτως· τουτέστιν ἀγόνους κατασκευάζει τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, διὰ τὸ ἐπιπολὺ ἐξυγραίνεσθαι κτέ. | 20 ὥστε — ῥεῖν inserit G[1] ante σκεδάων (387, 1), ind. G[2] | 20-21 ἀγόνους — γίνεσθαι G[1], haec R P: οἱονεὶ γὰρ διαλυομένου τοῦ σώματος ῥοῶδες γίνεσθαι | 21 σῶμα] num σπέρμα? ἄλλως om. G[1] | 22 χολαῖς] χολῆς P | 23 αὐτὸ πληροῖ G[1], ἀποπληροῖ R P | 24-26 G[2] R P.

583. *σκεδάων γυίοισι τελίσκει*· ἀντὶ τοῦ σκορπίζων τὸν σπόρον τοῖς μέλεσιν ἀποτελεῖ ἀγόνους τοὺς φαρμακευθέντας, κἄν τε ἀνὴρ ᾖ, κἄν τε γυνή.

584. *ἀφυσγετὸν δέ*, ἀντὶ τοῦ πολύ, δαψιλές, ἀφύσιμον, ἀρύσιμον.

586. *ἠὲ πίθου φλογιῇ*· δεῖ δὲ αὐτόν, φησίν, ἐν πίθῳ διθύρῳ ἐντεθέντα ξηροπυρίαν λαμβάνειν, ὥσπερ οἱ ὑδρωπικοί. *ἐναλθῆ δέ*. ἤγουν θεραπείας ἐπιδεόμενον. γράφεται καὶ ἀναλθῆ.

587. *θερμάσσαιο δέ*, ἀντὶ τοῦ θέρμανον. *χέαι ἀπὸ νήχυτον ἱδρῶ*· τουτέστιν ἵνα ἱδρώσῃ ⟨τὸν νήχυτον, οἱονεὶ G¹⟩ τὸν πολύχυτον αὐτοῦ ἱδρῶτα.

588. *αὐξηρῶν δονάκων*· ἤτοι τῶν μεγάλων· γράφεται καὶ οὕτως· ἢ ξηρῶν· τῶν αὐχμηρῶν. Πραξαγόρας δέ φησι τὸ χλωρὸν τῶν καλάμων ἐσθιόμενον ὠφέλιμον ὑπάρχειν τοῖς τῷ φρύνῳ πεφαρμακευμένοις.

589. *οἴνῳ ἐπεγκεράσαιο*· τῷ οἴνῳ, φησίν, ἐν ᾧ τὰ ἀποβρέγματα τῶν ῥιζῶν τῶν καλάμων εἰσίν, ἢ τοῦ κυπείρου, ἀνάτριψαι αὐτὸν νῆστιν. *ὑποτέτροφεν δέ*, οἰκεῖ ἐν ταῖς τῶν καλάμων ῥίζαις, ἢ ἐτράφη ὑπὸ λίμνην· *οἰκείη δέ*, ἤγουν ἑκάστη οἰκειουμένη αὐτοῖς.

590. *ἑρπετὰ νήχει*· τοὺς μικροὺς βατράχους· δύο δὲ αὐτῶν εἴδη, τὸ μὲν κρακτικόν, τὸ δὲ ἄφωνον, ἀμφότερα δὲ θανάσιμα· ἡ δὲ φαρμακεία ἡ διὰ τῶν βατράχων γινομένη ἐστὶν αὕτη· λαμβάνουσι καὶ κατακεντοῦσιν ὅλον τὸ σῶμα, φυλασσόμενοι κατὰ βάθος ποιεῖσθαι τὰ κεντήματα, αὐτὴν δὲ μόνην παίοντες τὴν ἐπιφάνειαν τῆς σαρκὸς καὶ εἰς ἀπίσσωτον σταμνίον βάλλοντες μικρὸν ὕδωρ ἐπιρραίνουσι, καὶ τὸ ἀπορρέον τούτου συμ-

1 σκεδάζων P   γυίοισι τ. ἀντὶ τοῦ om. G¹ | 2 τοῖς γυίοις ἤγουν τοῖς μέλεσιν G² | 3 ᾖ] ἐστὶ G¹ | 4-5 G² R P | 4 πολύ omm. R P   πολυδαψιλὲς P | 5 ἀρρυσόμενον P | 6-7 δεῖ δὲ — ὑδρωπικοὶ dedi ex R P, habet G¹ sch. epitom. | 7 ἐντεθέντα *IGSchn.*, ἐντένθι P, ἐντένθα, ut videtur, R | 8 ἀναλθῆ δέ P   δὲ τὸν χρήζοντα θεραπείας G¹   καὶ ἐναλθῆ P | 9 θερμασ. — θέρμανον G² R P, θερμάσαι est lemma in P   χέαι ἀπὸ om. G¹ | 10 τὸ νήχυτον G¹, corr. *IGSchn.* | 11 τὸν πολύχυτον αὐτοῦ] τὸν πολὺν G¹ | 12-13 ἤτοι — αὐχμηρῶν G² R P | 14 ὑπάρχει R P   τῷ φρύνῳ] τῷ οἴνῳ R P | 16 lemma omm. R P | 17-18 ἀνάτριψε G¹ | 19-20 ἢ ἐτράφε κτέ. G² R P | 19 λίμνη R | 21 νήχει omm. R P   τοὺς μικροὺς β. λέγει, βατράχων δὲ εἴδη δύο G¹ | 23 γινομένη om. G¹   ἔστι τοιαύτη G¹ | 25 βάθους G¹ | 26-27 βαλόντες R P   ἀπορραῖον R.

μίσγουσι ποτῷ ἢ βρωτῷ καὶ οὕτως ἀναιροῦσιν. νήχει δέ, ἀντὶ τοῦ περιπατεῖ.

591. *ἠὲ φιλοζώοιο· δύο δὲ εἴδη κυπείρου, ἀρσενικόν τε καὶ θηλυκόν, ἔστι δὲ εἶδος βοτάνης· φιλόζωον δὲ αὐτό φησι* 5 *διὰ τὸ ῥίζαν ἔχειν στερεωτέραν.*

592. *αὐτόν τ' ἠνεκέεσσι· περιπάτοις ἀναγκάζει αὐτὸν χρῆσθαι μακροῖς, μήτε ποτὸν μήτε βρωτὸν προσφέροντα, ξηραίνοντα δὲ τὸ σῶμα, ἵνα κατισχνωθῇ.*

593. *κατατρύσαιο δὲ γυῖα· ἀντὶ τοῦ κατίσχνωσον αὐ-* 10 *τοῦ τὰ μέλη.*

594. *ἐχθομένη δέ σε· καὶ τῆς λιθαργύρου τὸ πόμα θανάσιμόν ἐστι, μάλιστα δὲ οἱ περὶ Ἀπολλόδωρόν φασι αὐτὸ δίδοσθαι μετὰ φακοῦ, ἢ πισσίου, ἢ πλακοῦντος· διὰ τοῦτο γὰρ λανθάνει ὁμοχροοῦν. φησὶ δὲ τοῖς ἐνεγκαμένοις παρέπεσθαι βάρος* 15 *κατὰ τῆς κοιλίας, κατὰ δὲ μέσην αὐτὴν πνεύματα βορβορίζοντα ἀνειλεῖσθαι, τὰ δὲ μέλη πίμπρασθαι, τὴν δὲ χροιὰν ἐοικέναι μολίβδῳ.*

596. *πνεύματ' ἀνειλίσσοντα, ἤγουν ἐμπνευματοῖ παραπλησίως στρόφῳ ἢ εἰλίγγῳ.*

20 597. *εἰλίγγοιο δυσαλθέος· τῆς κοιλιοστροφίας. τὸ δὲ ἀπροφάτοισιν ἀντὶ τοῦ ἀγνώστοις.*

599. *οὐ μὲν τῶν γ' οὔρων· γράφεται καὶ οὐ μὲν τῶν οὔρων, ἀντὶ τοῦ κακωθέντι ὑπὸ τοῦ λιθαργύρου, καὶ οὕτω καὶ ἡ τῶν οὔρων ῥύσις κατέχεται, τὰ δὲ μόρια πιμπράνεται.*

25 600. *εἰδήνατο χροιήν, ἀντὶ τοῦ ὡμοιώθη.*

601. *ὁτὲ μὲν σμύρνης· δύο ὀβολοὺς σμύρνης, ἄλλοτε*

1 *βρωτῷ* (*βροτῷ* P) *ἢ ποτῷ* R P *νήχει κτέ.* G² R P | 3-5 G² R P, lemma addidi | 4 *ἔστι δὲ εἶδος βοτ.* add. G² *φιλίζωον* P | 5 *τὴν ῥίζαν* R P *στερεωτάτην* R P | 6 *ἠνεκέσι* G¹ *ἀναγκάζειν* R | 7 *μακροῖς* om. G¹ add. G² *μήτε βρ. μήτε π.* R P *προφέροντα* G¹, *προφέρειν* R *ξήραινε* R | 8 supra *σῶμα* add. G² in G¹: *λείπει* | 9-10 G² R P | 11 *ἀχθομένη* P | 12 *φασὶ δὲ μάλιστα οἱ περὶ Ἀ. αὐτὸ* P | 12-13 *δεδόσθαι* R P *φακκοῦ* ex *φακοῦ* fecit G² | 15 *πνεῦμα βορβορίζον* R P | 16 *πιμπρᾶσθαι* R P | 18 *πνεύματ' ἄνει.* (sic) G¹ | 19 *εἰλίγγῳ* *IGSchn.* *λύγγῳ* codd. | 20 *εἰλίγγοιο — κοιλοστροφίας* G² R P *κοιλοστροφίας* *IGSchn.*, *κοιλιοστρόφου* G² P, *κοιλοστρόφου* R *τὸ δὲ κτέ.* G² | 22 *οὐ μὲν — καὶ* R P | 24 *οὔρων*] *λιθαργύρων* P *πίμπρανται* R P | 25 R P *χροιὰν* R | 26 *ἄλλοτε ὀρεινὴν κτέ.* G¹.

οὔρειον, ὅ ἐστιν ὀρεινὴν ὑπέρεικον, ἄλλοτε ὀρμίνθιον, ⟨ἔστι δὲ εἶδος βοτάνης R P⟩, ἄλλοτε ὑσσώπου κλάδους.

604. κράδην δέ, τὴν ἀγρίαν συκῆν. σπέραδός τε· τοῦ ὀρεοσελίνου καλουμένου· φυτὸν γὰρ τοιοῦτόν ἐστι διουρητικόν.

605. Ἴσθμιον· ἡ ἱστορία εὔγνωστός ἐστι παρὰ πᾶσι τοῦ ἀγῶνος τοῦ Μελικέρτου. 5

606. Σισυφίδαι· οἱ Κορίνθιοι· ἄγεται δὲ τῷ Μελικέρτῃ ὁ Ἰσθμιακὸς ἀγών, ἐν ᾧ ὁ στέφανος ἦν πρότερον τοῖς νικῶσι ἀπὸ σελίνου, ὕστερον δὲ ἀπὸ πίτυος· τινὲς δέ φασιν ἐπὶ Σίνιδι τὸν Θησέα διαθεῖναι, οἱ δὲ Ποσειδῶνι τῷ πατρῴῳ θεῷ 10 τελεῖσθαι· οἱ πλεῖστοι δέ φασι τελεῖσθαι τῷ Μελικέρτῃ.

607. ῥυσίμῳ· καὶ γὰρ ἐρύσιμόν ἐστιν εἶδος βοτάνης, ἰδίως δὲ αὐτὸ εἴρηκε χωρὶς τοῦ ε, ὅ τινες πήγανόν φασιν. ἐνομήρεα δέ, ἀντὶ τοῦ ὁμοῦ μίξας.

609. κύπρου τε βλαστεῖα νεανθέα· οἱ μὲν εἶδος φυ- 15 τοῦ τὴν κύπρον φασίν, οἱ δὲ τὰ ἀπὸ τῆς Κύπρου νήσου βλαστήματα· καὶ τῆς κύπρου φησὶ τὰ νεοανθῆ βλαστεῖα, καὶ τοὺς τῆς σίδης πρωτογόνους κυτίνους, τὸν ἀνθήμονα καρπὸν, μετὰ οἴνου τρίψας πάρασχε αὐτῷ πιεῖν.

610. κύτινον δέ, τὸ ἄνθος τῆς ῥοιᾶς, ὅπερ αὐξηθὲν ῥοιὰ 20 γίνεται.

611. μὴ μὲν δὴ σμῖλον· ἡ σμῖλος φυτόν ἐστιν ἐλάτῃ ὅμοιον, διὸ καὶ ἐλατηΐδα εἶπε. περὶ δὲ τῆς σμίλου φησὶν Ἀνδρέας περὶ Αἰτωλίαν πληθύνειν καὶ τοὺς ἐγκοιμηθέντας αὐτῇ ἀποθνῄσκειν. ὁ δὲ Θεόφραστος ⟨h. pl. III 10, 2⟩ περὶ μὲν 25

1 ὀρμίνειον P, δ' ὀρμίνθοιο R | 3 κράδην δὲ τὴν ἀ. συκῆν G[2] R P τε om. P σελίνου ante τοῦ inserunt R P φύσει δὲ τοιοῦτον G[1] | 5 lemma om. R, ἴσθιον P | 6 quaedam ad v. 605 add. G[2] ex *Eutecn.* 242a 22-23 | 9 τινὲς] γίνεται codd., quod nullo modo ferri potest; τινὲς *Vitelli*, optime; nam inter ΤΙ/ (= τινὲς) et ΓΙ/ (= γίνεται) obvia in codd. permutatio fuit. de hoc sch. cf. Scholl. in *Pind. Isthm.* in hypot. | 9 φασιν *IGSchn.* φησι codd. | 10 διαθῆναι R οἱ δὲ *IGSchn.*, ὁ δὲ codd. ποσειδῶν R P | 11 οἱ πλεῖστοι δέ φ. om. R | 12 ad v. 606 haec adn. G[2]: εὕρηται δὲ πένεριν γεγραμμένον, ἔστι δὲ εἶδος φυτοῦ | 12-14 G[2] R P | 12 ῥύσιμόν R P ἰδία δὲ αὐτῷ P | 13 ὁμήρεα R, ὁμηρέα P | 15-17 βλαστεῖα — βλαστήματα R P | 16 νήσου Κύπρου R | 17 φασὶ R P νεοθαλῆ R P τοὺς omm. R P | 18 post σίδης R P: ἤτοι τῆς ῥοιᾶς πρωτογόνου κυτίνου R τῶν ἀνθίμων καρπῶν G[1] | 20 κύτινόν φασι τὸ G[1] | 22 lemma om. G[1] | 23 ἐλατοΐδα P | 24 αἰτωλῶν R P.

τῶν ἀνθρώπων οὐδὲν εἴρηκεν, αὐτὸ δὲ μόνον, ὅτι τὰ λόφουρα τῶν ζῴων γευσάμενα ἀποθνήσκει. λόφουρα δέ εἰσι βόες, ἡμίονοι. Καλλίμαχος ⟨fgm. 228⟩·

ἑρπετά, τῶν αἰεὶ τετράφαται λοφιαί.

5 612. Οἰταίην· τὴν οἴτου αἰτίαν γινομένην, ἢ τὴν ἐν Οἴτῃ φυομένην, ὄρει τῆς Αἰτωλίας.

613. χαλικροτέρῃ· ἀντὶ τοῦ ἀκρατοτέρα πόσις οἴνου πολλὴ παραχρῆμα ἰάσαιτο.

616. καὶ τὰ μὲν οὖν Νίκανδρος· ἤτοι καὶ ταῦτα μὲν
10 ὁ Νίκανδρος τῇ ἰδίᾳ κατέθετο βίβλῳ, τὰ ἐπίπονα καὶ φαρμακώδη ἑκάστῳ ἀνδρὶ τὰ ἐκ τοῦ μύκητος, λείπει δὲ τὸ γινόμενα ἢ τὰ μύκητος, ὅ ἐστι τὰ δηλητήρια. ἄλλως· παρ᾽ ἀνέρι· ἡ παρὰ πρὸς τὸ κατέθετο, ἵνα ᾖ παρακατέθετο ἀνδρὶ ἑκάστῳ ἐν τῇ ἰδίᾳ βίβλῳ. μοχθήεντα· ἀντὶ τοῦ ἐπίπονα. ἢ οὕτως·
15 τῷ ἐπὶ φαρμάκῳ μύκητος κακοπαθοῦντι ἀνθρώπῳ· ταῦτα βοηθήματα ἐν τῇ ἰδίᾳ βίβλῳ κατέθετο.

618. πρὸς δ᾽ ἔτι τοῖς· πρὸς δὲ τούτοις, φησί, βοηθεῖ καὶ ἥστινος τοὺς κλῶνας ἐμίσησεν ἡ Δίκτυννα, λέγει δὲ περὶ τῆς μυρτίνης. φησὶ γάρ· αὐτὴν ἡ Δίκτυννα μισεῖ, καὶ μόνη
20 αὕτη ἡ μυρτίνη τῆς Ἰμβρασίας Ἥρας οὐκ ἐπεδέξατο τὸ στέφος, τουτέστιν οὐκ ἐγένετο στέφος τῆς Ἰμβρασίας Ἥρας, διότι κάλλους ἕνεκεν εἰς ἔριν διηγέρθησαν αἱ ἀθάνατοι θεαί. τὴν Κύπριν ἐκόσμησεν αὕτη ἡ μυρτίνη, ⟨ὅτε περὶ κάλλους ἤρισαν G'⟩ ἐν τοῖς τῆς Ἴδης κατὰ Τροίαν ὄρεσιν. ἢ οὕτως· τὴν Ἴδην ἐκό-
25 σμησαν αἱ θεαὶ τοῖς ἄνθεσι τῶν βοτάνων, καὶ ταῖς λόχμαις,

1-2 λόφουρα utroque loco *Bentl.*, κολούφυρα G^1, κολόφυρα R P | 2 ἀποθνήσκειν R P | 5 ἀεὶ R P τετράφαται *IGSchn.* τεθρύφαται *Abel*, τετρίφαται G^1 P, τετρύφαται R λοφίην P, λόφνην R | 5 τὴν εἴτε μιτίαν γιν. R οἴτει G^1 | 7 χαλιχρότερον P ἀκρατεστάτη P, ἀκροτάτη R | 8 ἰάσατο R | 10 τὰ om. R | 11 τὸ] τὰ R | 12 μύκητα G^1 ἄλλως om. G^1 | 12-14 verba παρ᾽ ἀνέρι — βίβλῳ G^2 R P et G^1 post ἤρισαν (23) | 14-16 μοχθήεντα κτέ. G^2 R P 14 οὕτως om. G^2 | 15 ἐπιφαρμάκῳ P μύκετι R P ταῦτα γὰρ R P | 15-16 μαθήματα P | 17 τοῖς] σοι R P τούτοισι P | 18 κλῶνας] κλάδους R | 18-19 λέγει — μισεῖ G^2 R P | 19 μυρτίνης *Vári*, μυρσίνης R G^2, μυρρίνης P | 20 μυρσίνη R, μυρρίνη P | 21 οὐκ — Ἥρας G^2 R P | 22 ἀθάνατοι G^1, sed ἀθάναται antea fuit post θεαί G^1: ὅτε, R P: ὅτι | 23 ὅτε — ἤρισαν ind. G^2 | 24 κατὰ τὴν Τρ. R; quaedam post ὄρεσι add. G^1 R P; v. *Animadv.* | 24-391, 2 ἢ οὕτως κτέ. G^2 R P | 25 τότε αἱ θεαί G^2.

ἔνθα διὰ κάλλους εἰς ἅμιλλαν κριθησόμεναι παρεγένοντο. Δίκτυννα δὲ ἡ Ἄρτεμις λέγεται. καὶ τὸ τέης· ἥστινος ἐμίσησεν.

622. *τῆς σύγε ἀπ' εὐύδροιο νάπης· ταύτης οὖν τῆς μυρτίνης φησὶ τὸ εὐανθὲς ὄφελος, ὁ γὰρ καρπὸς αὐτῆς ὠφέλιμός ἐστι τοῖς πάσχουσιν, ὅ ἐστι τὸν καρπὸν τὸν πορφυροῦν, τὸν* 5 *συναύξοντα ταῖς χειμεριναῖς νυξίν, οἱονεὶ τῷ ἔαρι, ἢ τὸν συναύξοντα ταῖς χειμεριναῖς πνοαῖς ἢ ἡμέραις· μᾶλλον γὰρ τῷ χειμῶνι ἀνθεῖ, ἤτοι δίδωσι τὸν καρπόν. τοῦτόν, φησί, τὸν καρπόν, ἀπὸ τῆς εὐύδρου νάπης λαβὼν καὶ θαλφθέντα ταῖς τοῦ ἡλίου ἀκτῖσι λειάνας, τουτέστι ξηρανθέντα λειώσας, καὶ τὸν* 10 *χυλὸν δι' ὀθόνης ἢ κυρτίδος ἐκπιέσας δίδου κοτύλην τῷ μέτρῳ πεπληρωμένην ἐν κυάθῳ, ἢ καὶ πλεῖον κοτύλης.*

624. *ἠελίου βολῇς· ταῖς ἀκτῖσι.*

625. *σχοινίδι κύρτῃ· τῇ ἐκ σχοίνου πεποιημένῃ κύρτῃ.*

627. *ὀνήϊον δέ, ὠφέλιμον.* 15

628. *ἄρκιον· βοηθητικὸν καὶ ὠφελιμώτατον.*

629. *ὑμνοπόλοιο· τοῦ ἐν τοῖς ὕμνοις καὶ ᾠδαῖς καὶ ποιήμασιν ἀναστρεφομένου, τουτέστι ποιητοῦ.*

630. *ἐν τῷ μεμνῆσθαι τοίνυν ἡμῶν, τὸν νόμον φυλάσσοις τοῦ ξενίου Διός. μνῆστιν γὰρ ἀντὶ τοῦ μνείαν.* 20

2 *τίης* P | 3 *τῇ σύγε* est lemma in G[1]   *οὖν* om. P | 3-4 *φησὶ τῆς μυρσ.* R P | 3-4 *μυρσίνης* codd. | 4-5 *ὁ γὰρ — ὅ ἐστι* G[2] R P | 5 *πορφυρόν* G[1] | 6 *χειμεριναῖς τουτέστι ταῖς νυξίν* G[1] (*τουτέστι ταῖς* ind. G[2])   *ἀέρι* P | 8 *ἤτοι δίδοσι τὸν κ.* G[2] | 9 *ἐνύδρου* G[1], *κέδρου* P | 10 *ἀκτῖσι λειάσας* G[1] | 12 *ἐν* om. R   *κοτύλης πλεῖον* R P   *εὐαλδὲς τὸ εὐαξές* add. in fine G[2], *ευαλδὲς δὲ τὸ ευανθὲς ὄφελος* R P | 13 G[2] R P   *ἠελίοιο* R P   *βολῇς* *IGSchn.*, *βολῇσιν* G[2] R P | 14 *τῇ*] *τὸ* R   *πεποιημένον* R   *κύρτῃ* omm. R P | 15 G[2] R P | 16 G[2] R P | 19-20 G[2] R P | 19 *τοίνυν* om. G[2] | 20 *γὰρ* om. G[2]   *μνεῖαν*] *μνήμην* R.   Subscriptio deest in R; *τέλος τῶν θηριακῶν* (sic) *νικάνδρου* G[1] (rubro); *τέλος τῶν ἀλεξιφαρμάκων τοῦ κολοφωνίου νικάνδρου* P (rubro).

ANIMADVERSIONES

Sch. ad v. 2. Verba *σύγκληρα δὲ σύνοικα τῶν αὐτοκλήρων*, quae exhibent G[2] R P, e margine irrepsisse patet: exstat enim in G[1] glossa interl. ad *σύγκληρα· συνάμα τῷ αὐτῷ κλήρῳ*. Eadem de verbis *τύρσεσι — τειχῶν* in fine huius scholii adfirmare ausim.

Sch. ad v. 6. Cf. Sch. ad Ther. 310: *πολύστροιβον· τουτέστι πολλὰς ἴλιγγας ἔχοντα καὶ ἀπειροπληθῆ καὶ ἀπλήρωτα καὶ πολλὰ ῥεύματα· καὶ γὰρ στρόβος ἐκεῖνα λέγεται, ἡ τῶν ὑδάτων στροφή*. Verba *τῆς πολυταράχου — ταράσσειν* posterius addita esse conicias.

Sch. ad v. 7. Duo scholia (l. 14-17 *ἀρκτικωτέρα — χορόν*, l. 17-25 *ὀμφαλόεσσαν — Κύδωνες*) ad h. v. exstare satis patet: utrum vetustate antecedat diiudicare non audeam. Cf. Hesych. s. v. *ὀμφαλόεσσα*, quem laudant I. G. Schneider in Animadversionibus p. 79 et Otto Schneider *Nicandrea* p. 152. Ceterum L haec tantum exhibet ad *ἐπ' ὀμφαλόεσσαν· διὰ τὸ περὶ τὸν ὀμφαλὸν τοῦ οὐρανοῦ στρέφεσθαι*. Equidem *στρέφεσθαι* malim pro *κεῖσθαι*, quod est in G[1] R P (Hesych. *περιέχειν*).

Sch. ad v. 8. Cf. Sch. ad Apoll. Argon. I, 985. Quae exhibet G[1] (327, 10) optima atque genuina indicat IGSchn. Verba *ὥσπερ — Ἑρμέω* glossam esse grammatic. satis patet.

Sch. ad v. 9. L: *Κρεούσης τῆς Ἐρεχθέως καὶ Ἀπόλλωνος Ἴων, ἀφ' οὗ Ἴωνες οἱ Ἀθηναῖοι, ὧν ἄποικος ἡ κατὰ τὴν Ἀσίαν Ἰωνία ἡ δωδεκάπολις, ὧν πρώτη ἡ Κολοφών. τοὺς Ἴωνας λέγει τοὺς διανειμαμένους τὴν Ἀσίαν καὶ πόλεις οἰκοδομήσαντας.*

Sch. ad v. 11. *γράφεται καὶ ἑζόμενος Κλαρίοιο θεοῦ παρὰ πίονι νηῷ*] *ἑζόμενος*, quod con. W. atque fuit fortasse in G[2] (*ἑζόμεν . . . .*), recepi ex L. Vide quae de Claro disputat W., et cf. Sch. Theriaca 958: . . . . *ἡ Κλάρος, ἥτις οὕτως*

ὠνόμασται παρὰ τὸ ἐκεῖ γενομένην τὴν Μαντὼ τὴν Τειρεσίου μετὰ Ζωγραίου κλαῦσαι, ἢ διὰ τὸ λαχεῖν αὐτὴν τὸν Κλάρον Ἀπόλλωνα, in quibus fortasse *τοῦ Ῥακίου* ex *Ζωγραίου* corrigendum est.

